Ὁ δὲ πολὺς τὴν σοφίαν Κύριλλος, ἐν τῷ κατὰ Ἰουλιανοῦ Ἀντιρρητικῷ, ἀρρήτως μέν φησι *τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· διὰ* δὲ τοῦ *Υἱοῦ, χορηγεῖται τῇ κτίσει.* Καὶ ἐν τῷ πρὸς Ἑρμείαν συντάγματι, *ἅγιον Πνεῦμα προσερεῖς, τὸ ἐκ Θεοῦ Πατρός, δι' Υἱοῦ προχεόμενον φυσικῶς*. Καὶ αὖθις πυνθανόμενος, ‖ *τίνος ἴδιον εἶναι φαμὲν τὸ Πνεῦμα τὸ ἅγιον; πότερον δὴ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς, ἢ γοῦν καὶ τοῦ Υἱοῦ; ἢ καὶ ἀνὰ μέρος; Ἑκατέρου* φησί, *καὶ ἀμφοῖν ὡς ἓν ἐκ Πατρὸς δι' Υἱοῦ, διὰ τὴν* M 218v *ταυτότητα τῆς οὐσίας*. ‖ Κἀν τοῖς εἰς τὸν εὐαγγελιστὴν ἐξηγητικοῖς Ἰωάννην, *εἰ καὶ πρόεισιν ἐκ Πατρὸς* φησὶ *τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἔρχεται δι' Υἱοῦ, καὶ ἴδιον ἐστὶν αὐτῷ*. Κἀν τοῖς αὐτοῖς πάλιν, *ἀραρότως* φησὶ *πιστεύομεν, ὡς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα ἐστίν, ἀλλ' ὁμοούσιον αὐτοῦ, καὶ δι' αὐτοῦ προϊὸν τὸ ἐκ τοῦ Πατρός.*

**ABCDGLMOVWZ**

---

**[4.1] 2-3.** τὸ Πνεῦμα-ἐκπορεύεται] Greg. Cypr., *Process. Spir. Sanc.* col. 276.48-49 — **6-9.** τίνος-οὐσίας] cf. Niceph. Blem., *Process. Spir. Sanc*. (Orat. 1), col. 537.53-56 — **11-14.** ἀραρότως-Πατρός] cf. suum, *Process. Spir. Sanc*. (Orat. 2), col. 573.13-14

---

**[4.1] 2-3.** τὸ Πνεῦμα-ἐκπορεύεται] cf. Cyrill. Alex., *Contra Jul.*, § 27.14-16, p. 160 — **3.** διὰ-κτίσει] loc. cit., § 49.18-19, p. 206 — **4-5.** ἅγιον-φυσικῶς] Cyrill. Alex., *Trinit.* (Dialog. 2), § 423, pp. 238.4-240.6 — **6-9.** τίνος-οὐσίας] Cyrill. Alex., *Trinit.* (Dialog. 6), § 592, p. 24.13-16 — **10-11.** εἰ καὶ-αὐτῷ] Cyrill. Alex., *Comm. Ioh.*, Lib. IX, § 1, p. 487.24-26 — **11-14.** ἀραρότως-Πατρός] loc. cit., Lib. XII, § 1, p. 131.27-29

---

**[4.1] Tit.** scr. ἑρμηνεία τοῦ λέγοντος ῥητοῦ τὸ δὲ, διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου in marg. BV — **1.** ante Ὁ δὲ scr. κυρίλλου in marg. ABCDGLMOVW — πολὺς] πολλὺς B — **3.** ante Καὶ ἐν scr. τοῦ αὐτ(οῦ) in marg. ABCDLOV — **4.** ἑρμείαν] ἑρμηνείαν ACL — **5.** ante Καὶ αὖθις scr. τοῦ αὐτ(οῦ) in marg. ABCDLMOVW: in textu Z — **6.** ἴδιον C — **7.** ἀνὰ μέρος] ἀναμέρος ABDLOWZ: post cor. (ex ἀνὰ μέρος) G — **8.** φησὶ ABCDGLMOVW: φησὶν Z — ἀμφεῖν L — **9.** post οὐσίας scr. τὶ δηλοῖ τὸ διὰ τοῦ υἱοῦ λέγειν τὸ πν(εῦμ)α in textu G — ante Κἀν scr. τοῦ αὐτ(οῦ) scr. in marg. ABCDGLMOVW: in textu G: — Κἀν AG — **10.** φησὶ] om. A — **11.** δι' υἱοῦ] κ(αὶ) δι' υἱοῦ A — ante Κἀν scr. τοῦ αὐτ(οῦ) in marg. ABCL — Κἀν AG: Καὶ Z — παλιν D — **12.** οὐκαλλότριον L: οὐκαλότριος D — ἅγιον] om. G — **13.** αὐτοῦ] αὐτῶ A — προϊὼν Z — τὸ] om. GZ

**[5] Τί δηλοῖ, τὸ *διὰ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα*.**

Ταύταις τοίνυν ὡς δοκοῦσιν ἐπερειδόμενοι ταῖς φωναῖς, μὴ ἄλλως τὸν Πατέρα αἴτιον εἶναι τῆς τοῦ Πνεύματος ὑποστάσεως ἰσχυρίζονται, εἰ μὴ διὰ τοῦ Υἱοῦ· ἐξ οὗ καὶ συναίτιον τῷ Πατρὶ τὸν Υἱὸν δογματίζουσι τῆς τοῦ Πνεύματος ἐκπορεύσεως. Καίτοι γε δῆλον, ἐξ ὧν προσεχῶς ἐκτεθείκαμεν ῥήσεων, ὡς οὐδενὶ τῶν ἐπὶ θεολογίᾳ μέγα κληρωσαμένων ὄνομα, ἐπῆλθεν εἰπεῖν ποτέ, διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν τὴν ὕπαρξιν, ἀλλ' ἐκ τοῦ Πατρὸς μὲν ἐκπορεύεσθαι, διὰ δὲ τοῦ Υἱοῦ, προαιωνίως ἐκλάμπειν, ὑπάρχειν, φανεροῦσθαι, πεφηνέναι, προϊέναι, γνωρίζεσθαι, δίδοσθαι, τ' ἄλλα, ὅσα φανέρωσιν ἁπλῶς διὰ τοῦ Υἱοῦ παρίστησιν, ἀλλ' οὐχ ὕπαρξιν. Καὶ ἵνα τὰς ἄλλας τῶν ἀπηριθμημένων ἄρτι παρῶμεν, τὴν συνεπτυγμένην μάλιστα τοῦ Νύσσης θεολογίαν, ὡς οἷόν τε θεωρητέον· ὁ γὰρ τῆς ἐκκλησίας ἐκεῖνος ὀξυδερκέστατος ὀφθαλμός, ὁ τὰ τοῦ Πνεύματος οὐκ ἄλλως λαλῶν, ἢ πλήρης τοῦ Πνεύματος γεγονώς, εἰ καὶ σφόδρα συνεσπειραμένης ἐνταῦθα, οὕτω δόξαν αὐτῷ, διαφόρους συνῆψεν

**ABCDGLMOVWZ**

---

**[5] Tit.** διὰ-Πνεῦμα] cf. Ioh. Damasc., *Exp. fidei*, § 12b.48, p. 36; suum, *Trinit.*, § 2, col. 12.30

---

**[5] Tit.** scr. τὶ δηλοῖ, τὸ διὰ τοῦ υἱοῦ λέγειν τὸ ἅγιον πν(εῦμ)α in marg. ABCDMOVW — **2.** πν(εῦματο)ς οὐσίας ACLZ — **4.** πνεύματος] π(ατ)ρ(ὸ)ς et sscr. πν(εύματο)ς C — **6.** μεγάλα L — κληροσαμένων W — ποτε BCDMOV: ποτὲ AGLWZ — **10.** τἄλλα CDMOV — ante ὅσα ras. (7-8 litt.) V — **11.** ἀλλ' οὐχ' ὕπαρξῖν G: ἀλλ' οὐχύπαρξῖν B — ante Καὶ ἵνα scr. ὅρα τ(ὴν) | ἐξήγησ(ιν) et βλέπ(ε) τ(ὴν) ἐξήγησιν μέχρι τέλ(ους) in marg. G — **13.** νύσης ABCDLMOV — **13.** ante Ὁ γὰρ scr. τοῦ νύσης in marg. ABCDLMOV: τοῦ νύσσης in marg. W: γρηγορ(ίου) τοῦ νῦσσης in marg. G — **15.** γεγονὸς DO — **16.** συνεσπειραμένης et sscr. πτυγμ(ένης) per συνεπτυγμένης C: συνεπτυγμένης AGL: συνεπτυγμένως Z: συνεσπειραμένως V: συνεσπειραμένος B

ἐννοίας εἰς μίαν θεολογίας ἐξαγγελίαν, ἀλλά γε καὶ οὕτω τὰς ὑπερουσίους τῆς μιᾶς θεότητος ὑποστάσεις, καλῶς πάνυ καὶ ἥνωσε καὶ διέκρινε, καὶ τὸ κατάλληλον ἑκάστῃ, παντὸς μᾶλλον ἐβράβευσεν· ἐπειδὴ γὰρ ὁ μέν, Πατὴρ θεολογεῖται καὶ προβολεύς, ὁ δέ, Υἱὸς καὶ Λόγος, τὸ δέ, Πνεῦμα καὶ πρόβλημα, ταυτὶ δὲ τὰ ὀνόματα, τῶν *πρός τι* λέγεται εἶναι, τὰ δὲ *πρός τι*, ἀνάγκην ἔχει συνεισφέρειν ἄλληλα, ὥς γε δὴ καὶ συναναιρεῖν, τὸν Υἱόν, ἢ μὲν Υἱὸν *προσεχῶς* ἔφησεν *ἐκ τοῦ πρώτου*, ἀμέσως ἅτε συνεισαγόμενον τῷ Πατρί, ἢ δὲ Λόγον, συνεπινοούμενον εὐθὺς κεκτημένον τὸ Πνεῦμα, *δι' αὐτοῦ* φησι *καὶ μετ' αὐτοῦ* ὡς ἐν ἄλλοις αὐτὸς εἴρηκε, καὶ ἅμα αὐτῷ καταλαμβάνεται καὶ τοῦτο ἐκπορευτῶς, ὥσπερ δὴ κατὰ γέννησιν ἐκεῖνος, τὴν ὕπαρξιν αὐχοῦν *ἐκ τοῦ πρώτου*, *προσεχῶς* μέντοι γε, καὶ αὐτὸ διὰ τὴν ἐπικειμένην ἀνάγκην τῶν *πρός τι*, τῶν ὀνομάτων, εἰς τὸν
M 219r προβολέα μεταπεσόντων δήπουθεν καὶ τὸ ‖ πρόβλημα, ὡς ἡ θεολόγος διδάσκει φωνή· *ὅτι ὁ μέν, γεννήτωρ καὶ προβολεύς· τῶν δέ, τὸ μέν, γέννημα, τὸ δέ, πρόβλημα*. Οἷς μὲν γάρ, *ἐκ τοῦ πρώτου*, τὸν Υἱὸν ἔφησε καὶ τὸ Πνεῦμα, τὴν αἰτίαν νοεῖν δίδωσι, μετὰ τοῦ

**ABCDGLMOVWZ**

---

**22** et **30.** πρός τι] cf. Arist., *Categoriae,* vii.6a37-8b24 — **24.** προσεχῶς-πρώτου] Greg. Nyss., *Ablab.,* p. 56.5 — **26.** δι'-μετ' αὐτοῦ] vide supra § **4**.41-42 — **29.** ἐκ-προσεχῶς] vide supra § **4**.62 — **32-33.** ὅτι-πρόβλημα] Greg. Naz., *De filio,* 3 § 2.13-15, p. 130; cf. Ps.-Athan. Alex., *Trinit.,* col. 1605.11-13 — **33.** ἐκ-πρώτου] vide supra § **4**.62-63

---

**17.** ἀλλά γε] ἀλλ' ἄγε W — **19.** ἥνωσε C — ἑκάστη G — **20.** θεολογεῖται] καλεῖται et sscr. θεολογεῖται C — **23.** συναναιρεῖν] συναιρεῖν GL — **25.** συνεισαγόμενον] post cor. (ex συναγόμενον) et scr. σϋνεισαγόμ(ενον) in marg. G: συναγόμενον W — **26.** φησὶ BG — **29.** αὐχῶν G — πρῶτου L — **31.** μεταπεσόντων] μετὰ πεσώντων post cor. ex (μετὰ πεσὸν) D — **32.** γενήτωρ W — **33.** γένημα W — γὰρ] om. ACLZ — **34.** τὴν αἰτίαν] τ(ὴν) αἰτί(αν) post cor. (ex τὸ αἰτί(αν)) B — δίδωσι] δίδωσ(ιν) D — post μετὰ τοῦ scr. et del. πρω per πρῶτου L

τρόπου δηλαδὴ τῆς οἰκείας ἑκατέρων ὑπάρξεως, εἰ καὶ μὴ διαρρήδην προσκεῖσθαι τοῦτο ταῖς λέξεσιν, ἡ στενοχωρία τῆς φράσεως συνεχώρησεν· οἷς δέ, διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, τὴν ἔκλαμψιν καὶ φανέρωσιν, καὶ ὅσα γε ὁμοίως τοιαῦτα διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγεται, παρ' αὐτῷ τούτῳ καὶ τοῖς λοιποῖς θεολόγοις, οὐ τὸ ὑφεστάναι καὶ τὸ εἶναι ἔχειν δι' Υἱοῦ· ἄπαγε τῆς ἀτόπου ταύτης ἐννοίας καὶ σφαλερᾶς! Τὸ τοίνυν ζωαρχικὸν Πνεῦμα καὶ ὑπερούσιον, *ἐκπορεύεται* μὲν ἐκ *τοῦ Πατρὸς* ἀρρήτως κατὰ τὴν τοῦ Σωτῆρος φωνήν, ἐξ οὗ δὴ καὶ τὴν ὕπαρξιν καὶ τὴν αἰτίαν ἔσχε τῆς ὑποστάσεως, ἅμα τῷ τὸν Υἱὸν αὐτὸν γεννηθῆναι ἀχρόνως καὶ ὑπὲρ ἔννοιαν· πρόεισι δὲ διὰ τοῦ Υἱοῦ φυσικῶς τε καὶ προαιωνίως, καθάπερ διὰ τῆς ἀκτῖνος τὸ φῶς· τούτων γὰρ *οὐδετέρῳ παρὰ θατέρου* πέφυκεν οὐδεμία πρὸς οὐσίωσιν ὕπαρξις, *ἀλλὰ* πηγὴν καὶ αἰτίαν τοῦ εἶναι, ὡς ἀρχὴν αὐτῶν φυσικὴν πλουτεῖ καὶ ἄμφω ταῦτα τὸν ἥλιον. Αἰσθητοῖς δὲ παραδείγμασι χρώμεθα, οὐ ταῖς εἰκόσι τῶν κάτω, μετρεῖν τολμῶντες τὰ ὑπὲρ ἔννοιαν, ἀλλ' ἕν τι τῶν ἐν τούτοις θεωρουμένων ἀπολαβόντες πρὸς ἀμυδρὰν τῶν ἀοράτων κατάληψιν· ἐπεὶ καὶ *τὰ ἀόρατα* τοῦ Θεοῦ, *τοῖς ποιήμασι*

**ABCDGLMOVWZ**

---

**41-43.** Τὸ τοίνυν-αἰτίαν] cf. Greg. Cypr., *Process. Spir. Sanc.*, col. 290.31-34 — **46-49.** καθάπερ-ἥλιον] cf. *Epist.*, p. 34.18-21

---

**37-39.** διὰ-Πνεῦμα] vide supra § **4**.Tit. — **42-43.** ἐκπορεύεται-Πατρὸς] cf. Ioh. 15:26 — **42-43.** οὐδετέρῳ παρὰ θατέρου] cf. Phot., *Epist.*, p. 130.197; Ioh. Beccum, *Pace*, p. 451.11 — **52-53.** τὰ ἀόρατα-καθορᾶται] Rom. 1:20

---

**36.** προκεῖσθαι A — **37.** φράσεως] φύσεως A — **37-39.** τὴν ἔκλαμψιν-πνεῦμα] om. L — **38.** *γε ὁμοίως* in ras. M — **43.** ἔσχε] ἔχει Z — **45.** ὑπὲρ ἔννοιαν G: ὑπερέννοιαν BDMO — τε] om. Z — τὲ καὶ G — **46.** δια B — τὸ ras. G — scr. in marg. τὸ φ(ῶς) G — οὐδὲ τέρω G: οὐδ' ἑτέρω BDMOVW — **47.** οὐδὲ μία BDGOW — **48.** ἀρχὴν] ἀρχικ(ὴν) B — πλουτεῖν G — **50.** μετρῆν τολμῶντες D: τολμῶντες μετρεῖν Z — ὑπερ ἔνοιαν D — ἀλλ' ἕν τοι G: ἀλλ' ἔν τι BZ

*νοούμενα καθορᾶται* κατὰ τὸ λόγιον, τὰ λοιπὰ χαίρειν ἐῶμεν, ἅτε τῆς ἀκηράτου φύσεως ἐκείνης, ἀπείρως διεστηκότα· φησὶ γὰρ ὁ Νύσσης μέγας Γρηγόριος, *οὐκ ἀνάγκη πᾶσα τῇ εἰκόνι δουλεύοντας, δοῦναι τοῖς συκοφάνταις λαβὴν ἐν τῇ τοῦ ὑποδείγματος, ἀτονίᾳ· οὐχὶ ἀκτῖνα ἐκ τοῦ ἡλίου νοήσομεν, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου, ἄλλον ἥλιον* τὸν Υἱόν, *ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ*, καὶ τὰ ἑξῆς ἀνωτέρω προείρηται. Ἀλλὰ καὶ φανεροῦσθαι λέγεται διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ἐκλάμπειν, καὶ πεφηνέναι, καὶ ἥκειν, καὶ γνωρίζεσθαι, καὶ δίδοσθαι οἷς ἄξιον. Ταῦτα δὲ τὴν δωρεάν, οὐ τὴν οὐσίαν δηλοῖ τοῦ Πνεύματος· φιλεῖ γὰρ ὡς ἐπίπαν ἡ θεία γραφή, Πνεῦμα ὁμωνύμως, καὶ τὴν ἐνέργειαν καλεῖν, καὶ τὴν χάριν τοῦ Πνεύματος. Καὶ τοῦτο σαφῶς δείκνυσιν ὁ θεῖος
M 219v Χρυσόστομος, *ἐὰν ἀκούσης λέγων, ἀποστελῶ ὑμῖν ‖ τὸ Πνεῦμα τὸ ἅγιον, μὴ τὴν θεότητα ἐκλάβῃς· θεότης γάρ, οὐκ ἀποστέλλεται· ὀνόματα γάρ εἰσι ταῦτα, τὴν ἐνέργειαν σημαίνοντα*. Καὶ μετ'

**ABCDGLMOVWZ**

---

**57-58.** οὐχὶ-ἐπινοίᾳ] cf. Niceph. Blem., *Process. Spir. Sanc*. (Orat. 2), col. 581.25-27 — **64-70.** Καὶ τοῦτο-λόγῳ] cf. *Epist.*, p. 13.15-28;

---

**55-58.** οὐκ-ἐπινοίᾳ] Greg. Nyss., *Contra Eunom.*, § 533, p. 172.15-19 — **59.** προείρηται] vide supra § **4.**49-56 — **65-67.** ἐὰν-σημαίνοντα] Ps.-Ioh. Chrys., *Spir. Sanc.*, § 10, col. 825.56-60; cf. Barl. Calab., *Contra Latinos*, § 12.169-171, p. 318; Macar. Macr., *Process. Spir. Sanc.*, 6 § 95-98, p. 52; Georg. Schol., *Process. Spir. Sanc.* (Tract. II), p. 313.33-35

---

**53.** καθοράται D — ἐῶμεν W — ἅτε] post cor. (ex. ἄτε) B — **53-54.** ἅτε-διεστηκότα] om. D — **54.** διεστηκότα ἀπείρως Z — ante Φησὶ scr. γρηγορ(ίου) νύσης in marg. ABCDLMOV: γρηγορ(ίου) νύσσης in marg. AW — **55.** νύσης μέγας BCDLMOV: νύσσης μέγας AGW: μέγ(ας) νύσσης Z — οὐκ ανάγκην Z — πᾶσα] post cor. ex. πασῃ B — **57.** ἀκτῖνα] post cor. ex. ἀκτίνα B: ἀκτίνα GZ — νοήσωμεν BGW — **57.** ἀλλ ἐξ ἀγεννήτου O: ἀλλ εξ ἀγεννήτου D: ἀλλ' εξ' ἀγενήτου W — **58.** πρώτου ἐπινοία] προσώπου ἐπινοία A — ἐπινοία] post cor. (ex ἐπ' εννοία) L — **59.** ἑξῆς GZ — **60.** τοῦ] om. Z — **61.** δίδοσθαι, καὶ γνωρίζεσθαι G — ante ταῦτα scr. ση(μείωσαι) in marg. G — **62.** δηλοῖ] δηλοῦσι Z — **63.** γραφὴ ABCDGLOVW: γραφῆ Z — **64.** post πνεύματος scr. et del. φιλεῖ γὰρ ὡς ἐπίπαν ἡ θεία γραφὴ, πν(εῦμ)α ὁμωνύ-|μως, καὶ τὴν ἐνέργειαν καλεῖν, κ(αὶ) τὴν χάριν τοῦ πν(εύματο)ς dittography O — **65.** ante Ἐὰν scr. χρ(υσοστόμου) in marg. ABCDMOVW: in textu G — ἀκούσ(ις) B — **66.** ἀποστέλεται L — **67.** ταῦτα] om. B — ἐνέργειαν] post cor. (ex ἐνεργείαν) D

ὀλίγα· *ὅταν οὖν λέγῃ, «πέμψω ὑμῖν τὸ Πνεῦμα» τὸ ἅγιον, τὴν δωρεὰν λέγει τοῦ Πνεύματος*. Ταῦτα δέ φησιν ἡ πολύστομος σάλπιγξ τοῦ Πνεύματος, ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ. Φυσικῶς γὰρ καὶ οὐσιωδῶς, προαιωνίως ὁ Υἱός, μόνον ἔχων ἐν ἑαυτῷ τὸ ὁμοούσιον Πνεῦμα, καὶ ὥσπερ ἀμέλει θησαυρόν τινα ζῶντα καὶ ἔμφυτον τοῦτο πλουτῶν, ἀφθόνως τοῖς πιστοῖς τὰς ποικίλας τοῦ ὁμοφυοῦς αὐτῷ χάριτας δίδωσι. Ταύτῃ τοι, καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἔστιν οἷς τῶν πατέρων, καὶ παρ' οἷς αὐτῶν συγγράμμασιν εἴρηται, οὔτε διάστασίν τινα, καὶ περιγραφὴν μεταξὺ Πατρὸς καὶ τοῦ παναγίου Πνεύματος εἰσενεγκεῖν τῆς λέξεως ταυτησὶ βουλομένης —τὸ συνημμένον δὲ μᾶλλον καὶ ἀχώριστον, καὶ ἀδιάστατον τοῦ Υἱοῦ καὶ τοῦ παναγίου κηρύξαι Πνεύματος—, οὔτε αὖθις αἰτίαν καὶ τῷ Υἱῷ προσάπτειν τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, ὡς καὶ συναίτιον τῷ Πατρὶ τῆς τούτου ὑπάρξεως τὸν Υἱὸν ἀποφῆναι ξένῳ μεταλήψεως τρόπῳ τῆς *διὰ* ἐκληφθείσης ἀντὶ τῆς *ἐκ*, ἐπεὶ ἀφῃρεῖτο ἂν τὸν Πατέρα, τὸ *μόνον αἴτιον εἶναι καὶ μόνην πηγὴν τῆς θεότητος*· ἡ γὰρ *διὰ* ἀντὶ τῆς *ἐκ* παρὰ τῇ θείᾳ Γραφῇ, ἐπὶ τῆς δημιουργίας μόνης λαμβάνεται,

**ABCDGLMOVWZ**

---

**80-89.** οὔτε-πεποίηκεν] cf. *Epist.*, p. 33.13-33

---

**67-68.** ὅταν οὖν-Πνεύματος] Ps.-Ioh. Chrys., *Spir. Sanc.*, col. 826.22-27 — **68.** πέμψω-Πνεῦμα] Ioh. 15:26 — **83-84.** τὸ μόνον-θεότητος] vide infra § **6**.3

---

**68.** λέγει BWZ — post πέμψω scr. et del. μεν per πέμψωμεν L — ὑμῖν] ἡμῖν L — **69.** φη(σιν) DOG: φησι B: φυσίν L — **71.** φυσικὸς G — post οὐσιωδῶς scr. κ(αὶ) B — μόνον] μένον BDOV — **72.** θησαυρόν τινα] post cor. (ex θησαυρὸν τινα) C: θησαυρὸν τινὰ A — **75.** post Πνεῦμα scr. καὶ Z — ἔστιν] post cor. (ex ἐστίν) O: ἐστίν V — **76.** συγγράμασιν AZ — **77.** μετὰξὺ B — παναγίου] ἁγίου G — **78.** λέξεως] λήξεως L — **79.** κηρύξαι] om. A — **82.** δια] δι L — **83.** ante ἐπεὶ scr. in marg. ση(μείωσαι) G — ἐπεὶ bis acc. W — ἂν τὸν] αὐτὸν LZ — **84.** post θεότητος alt. man. scr. ἄντικρϋς ἔοικας | ψευδῆ λέγων· τοῦ | θείου βασιλείου | φάσκοντος ἀδια-|φόρως ἐπὶ τῆς θεο-|λογ(ίας) δείν χρῆσθαι | ταῖς προθέσεσι ταύταις: in marg. L — ante ἡ γὰρ scr. δια et εκ in marg. G — **85.** τῇ θεία γραφὴ G

τὸ ἀρχικὸν καὶ ποιητικὸν σημαίνουσα αἴτιον, ὡς τὸ *ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*, ἀντὶ τοῦ *ἐκ τοῦ Θεοῦ*· καὶ ὡς τό, *πάντα δι' αὐτοῦ ἐγένετο*, ἀντὶ τοῦ *ἐξ αὐτοῦ*· αὐτὸς γὰρ ὁ Υἱός, ἐκ μὴ ὄντων τὰ πάντα πεποίηκεν. Εἰ δὲ ἐπὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, τὸ *διὰ τοῦ Υἱοῦ*, ἀντὶ τοῦ *ἐκ τοῦ Υἱοῦ* ἐκλάβοι τις, πῶς οὐκ ἂν εἰς κτίσμα τιθεὶς ἀλοίη τὴν τελειωτικὴν τῶν ὅλων τοῦ ἁγίου Πνεύματος δύναμιν; Οὕτως οὖν τοῖς ἁγίοις πατράσιν, εὐσεβεῖ διανοίᾳ, τῆς *διὰ ἔσθ'* ὅτε λεχθείσης, ὡς ἂν ἅμα μέν, ἐκ μόνου τοῦ Πατρὸς ὡς αἰτίου, τὸ Πνεῦμα καλῶς ἐκπορεύεσθαι νοηθείη, ὅθεν καὶ τὴν ὕπαρξιν ἔχει —τοῦ τῆς ὑπάρξεως τρόπου ἐκεῖσε καλῶς φέροντος ὅθεν καὶ ἡ ὕπαρξις—, ἅμα δέ, καὶ δι' Υἱοῦ προέρχεσθαι καὶ πεφηνέναι καὶ δίδοσθαι, καὶ ὅσα προείρηται.

**ABCDGLMOVWZ**

---

**86-87.** ἐκτησάμην-Θεοῦ] Athan. Alex., *Contra Arian.*, col. 156.18

---

**86.** ἐκτησάμην] post cor. (ex ἐκτϊσάμην) B — **87.** ὡς] om. Z — **88.** ἐξαυτοῦ CM: ἐξ' αὐτοῦ W — **88-89.** μη όντων A: μὴ | όντ(ων) G — **90.** post Πνεύματος scr. et del. τὸ δε Z — ἀντὶ τοῦ ἐκ τοῦ] ἀντὶ τοῦ τό τοῦ D: ἀντὶ τοῦ Z — ἐκλάβοι τίς BG — **91.** ἀλοίη AL — **92.** ἁγίου] om. Z — ἁγίοις] om. G — **93.** ἂν] om. B — **95.** τὸν τῆς ὑπάρξεως τρόπον Z

**[5.1] Ἡ κατὰ τοῦ Βέκκου σύνοδος.**

Τῷ δέ γε δυσσεβεῖ καὶ γαύρῳ τῶν Λατίνων φρονήματι, πρόφασιν
M 220r τῆς λέξεως τῆσδε παρασχούσης κακίας οἱ τῶν ὀρθῶν ‖ δογμάτων ὑπερασπίζοντες, τὸ ὑφορμοῦν ἄτοπον διωσάμενοι, οὕτως ἀριδήλως φασί, τοὺς ἐκ τοῦ Υἱοῦ ἢ διὰ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον λέγειν ἀποτολμῶντας, ὡς βλασφήμους ἡγούμεθα καὶ δυσσεβεῖς· οὕτω γὰρ ὁ τῶν εὐσεβῶν σύμπας ἀπεφήνατο σύλλογος, ἡνίκα τὴν μυρίαν ἐκείνην ὁ πονηρὸς κατὰ τῆς ἐκκλησίας ἐπήγειρε λαίλαπα, ἐπὶ τῆς ἡμετέρας σχεδὸν γενεᾶς, ἐφ' ὅλοις χρόνοις ὀκτώ, καὶ κίνδυνον αὐτῇ τὸν ἔσχατον περιέστησε· καταδύσαι δέ, οὐχ οἷός τε ἐγένετο, τῆς ἱερᾶς τῆς πίστεως ἀσφαλῶς ἐχομένην ἀγκύρας. Μᾶλλον μὲν οὖν καὶ γαλήνη αὖθις τῶν ὀρθῶν δογμάτων βαθεῖα, καλὸν αὐτῇ ἐπεγέλασεν· ὅτι γὰρ κοινὸν ἀξίωμα τοῦτο πᾶσι τοῖς ἐπὶ θεολογίᾳ βεβοημένοις καὶ ἀναντίρρητον, τὸ μόνως ἐκ τοῦ Πατρὸς τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ διὰ τοῦ Υἱοῦ ὑπάρχειν ἢ ἐκπορεύεσθαι τούτοις εἰπεῖν ἐπῆλθεν ἐνίοτε, αὐτοὶ τῆς αὐτῶν διανοίας ἀξιόχρεω καὶ μάλα γενήσονται μάρτυρες, δι' ὧν αὖθις ὑποθήσομεν, θεσπεσίων αὐτῶν ῥήσεων.

**ABCDGLMOVWZ**

---

**[5.1] 6-7.** Ἡ-σύνοδος] scil. Concilium Blachernae (1285)

---

**[5.1] Tit.** scr. ἡ κ(α)τὰ τοῦ βέκου σύνοδος in marg. G — φρονήματι] om. Z — **4.** φασὶ ACGLMWZ: φασίν DO: φασὶν BV — **10.** οὐχ' οἷός τε W — **11.** ἐχομένης Z — οὖν] om. G — **12.** post αὖθις add. ἡ Z — **14.** ἀναντίρρητας L — **15.** ἔχειν τῆς ὑπάρξεως per sscr. β' et α' Z — post ἅγιον scr. ση(μείωσαι) in marg. CG: alt. man. scr. ἐντέλοι μαρτυρίου in marg. C — **16** ἐπῆλθεν] ὑπῆλθεν V — **17.** ἀξιώχρεω L

**[6] Τίνες οἱ ἐκ μόνου τοῦ Πατρὸς λέγοντες, ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον.**

Καὶ πρῶτος ὁ τὰ θεῖα παντὸς μᾶλλον βροντήσας, παρίτω μοι Διονύσιος, ὁ τοῦ Ἀρείου Πάγου ἐπώνυμος, ἐν τῷ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας κεφαλαίῳ λέγων· *μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος, ὁ Πατήρ*. Καὶ μετ' ὀλίγα· *ὅτι μέν ἐστι πηγαία θεότης ὁ Πατήρ· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα, τῆς θεογόνου θεότητος· εἰ οὕτω χρὴ φάναι βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη, καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν, οὔτε ἐννοῆσαι δυνατόν*. Ὁ δὲ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου, *γεννᾷ* φησιν *ὁ Θεός, οὐχ ὡς ἄνθρωπος· γεννᾷ δὲ ἀληθῶς· καὶ τὸ γεννηθὲν ἐξ αὐτοῦ, ἐκφαίνει λόγον οὐκ ἀνθρώπινον· ἐκφαίνει δὲ λόγον ἀληθῶς ἐξ αὐτοῦ· καὶ ἐκπέμπει Πνεῦμα διὰ στόματος, οὐχ οἷον τὸ ἀνθρώπινον, ἐπεὶ μὴ δὲ στόμα Θεοῦ σωματικῶς· ἐξ αὐτοῦ δὲ τὸ Πνεῦμα, καὶ οὐχ*

**ABCDGLMOVWZ**

---

**[6] 1-8.** Καὶ πρῶτος-δυνατόν] cf. *Epist.*, p. 40.13-32 — **3-7.** μόνη-φῶτα] cf. Greg. Cypr., *Process. Spir. Sanc.*, col. 277.41-45 — **8-14** Ὁ δὲ-ἑτέρωθεν] cf. *Epist.*, p. 24.15-21 — **8-16.** Ὁ δὲ- Πατρός] cf. *Epist.*, p. 43.4-12 — **11-16** καὶ-Πατρός] cf. *Epist.*, p. 43.4-12

---

**[6] 1-8.** Καὶ πρῶτος-δυνατόν] cf. Eust. Nic., *Process. Spir. Sanc.* (Orat. 1), pp. 66.17-67.1 — **3-4.** μόνη-Πατήρ] Ps.-Dionys. Areop., *Divin. nom.*, 2 § 5, p. 128.11-12 — **4-8.** ὅτι-δυνατόν] loc. cit., 2 § 7, p. 132.1-4 — **9-14.** γεννᾷ-ἑτέρωθεν] non Bas. Caes. sed Didym. Alex., *Adv. Eunom.*, PG, col. 736.17-23; Bonis, p. 248.3-7

---

**[6] Tit.** scr. τίνες οἱ ἐκ μόνου τοῦ π(ατρ)(ὸ)ς λέγοντες ἐκπορεύεσθαι τὸ πν(εῦμ)α τὸ ἅγιον (τὸ ἅγιον πν(εῦμ)α D) in textu AD : in marg. BCMOVW — **1.** ante Καὶ πρώτος scr. διονυσίου τοῦ ἀρεοπαγίτου in marg. BCMOV: in textu G — post Καὶ πρώτος scr. διονυσ(ίου) in marg. AW: in textu D — **1-2.** διονύσιος παρίτω μοι Z — **3.** διακεκριμένη D — λέγων κεφαλαίω Z — **4.** ὑπερρουσίου DO — ἔστι Z — **6.** φᾶναι DGMOVW — **7.** φῶτα] ταῦτα B — **8.** ταῦτα ἐστὶν G: ταῦτα ἔστιν Z — ante Ὁ δὲ scr. βασιλ(είου) in marg. ABCDGMOVW: in textu Z — **9.** γενᾶ W — φησὶν AG — οὐχ' ὡς W — **10.** γενᾶ W — γενηθὲν W — ἐξ' αὐτοῦ W — **10-11.** ἐκφαίνει...ἐκφαίνει] ἐμφαίνει...ἐμφαίνει G — ἐκφαίνει-αὐτοῦ] om. A — **11.** ἀνθρώπινον] post cor. (ex ἀνθρώπιον) Z — ἐξ' αὐτοῦ W — **13.** ἐξ' αὐτοῦ W — **13-14.** οὐχετέρωθεν D: οὐχ' ἑτέρωθεν GW

*ἑτέρωθεν*. Τὶ δέ σοι δοκεῖ σημαίνειν τὸ *οὐχ ἑτέρωθεν;* ἆρ' οὐ τὸ μὴ καὶ ἐξ ἄλλης ὑποστάσεως εἶναι τὸ Πνεῦμα, ἢ ἐκ μόνης τῆς τοῦ Πατρός; Ὁ δὲ ἅγιος Κύριλλος ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος λόγῳ, *αἱ προσκυνηταί* φησι *τρεῖς ὑποστάσεις, γινώσκονται καὶ πιστεύονται· ἐν Πατρὶ ἀνάρχῳ, ἀναιτίῳ, ἀγεννήτῳ, ἐν Υἱῷ*
M 220v *μονογενεῖ γεννηθέντι ἀρρήτως* ‖ *ἐκ τοῦ Πατρός· καὶ ἐν Πνεύματι ἁγίῳ, τῷ ἐκπορευομένῳ ἐκ τοῦ Πατρός, οὐ γεννητῶς, καθάπερ ὁ Υἱός, ἵνα μὴ δύο Υἱοὶ ἐν τῇ Τριάδι, ἀλλ' ἐκπορευομένῳ καθάπερ εἴρηται ἐκ μόνου τοῦ Πατρὸς ὡς ἀπὸ στόματος· πεφηνότι δὲ διὰ τοῦ Υἱοῦ ἐν πᾶσι τοῖς ἁγίοις*. Ὁ δὲ ἅγιος Αὐγουστῖνος, ἐν βιβλίῳ πεντεκαιδεκάτῳ, περὶ τῆς ἁγίας Τριάδος· *τὸ Πνεῦμα τὸ ἅγιον, κυρίως ἐκπορεύεται ἀπὸ τοῦ Πατρός*. Καὶ μετά τινα· *ὁ Πατὴρ μόνος, οὐκ ἔστιν ἐξ ἄλλου· διατοῦτο μόνος προσαγορεύεται ἀγέννητος· ὁ Υἱὸς δέ, ἐκ τοῦ Πατρὸς γεγέννηται· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς κυρίως ἐκπορεύεται*. Ὁ δὲ ἅγιος Ἱερώνυμος, ἐν τῇ πρὸς Δάμασον ἐπιστολῇ, τὸ ἅγιον ἐκτιθέμενος σύμβολον,

**ABCDGLMOVWZ**

---

**16-23.** Ὁ δὲ-ἁγίοις] cf. *Epist.*, p. 24.30-25.1

---

**14.** οὐχ ἑτέρωθεν] non Bas. Caes. sed Didym. Alex., *Adv. Eunom.*, PG, col. 736.22-23; Bonis, p. 248.7 — **17-23.** αἱ-ἁγίοις] non Cyrill. Alex., sed Ps.-Athan. Alex., *Contra Latinos*, col. 825.39-52 — **24-25.** τὸ Πνεῦμα-Πατρός] August. Hipp., *Trinit.*, xvii.29: '…procedit principaliter Spiritus sanctus nisi Deus Pater' p. 503.53-54 — **25-28.** ὁ Πατὴρ-ἐκπορεύεται] August. Hipp., *Trinit.*, xxvi.47: 'Pater enim solus non est de alio, ideo solus appellatur ingenitus … Filius autem de Patre natus est: et Spiritus sanctus de Patre principaliter, et ipso sine ullo temporis intervallo dante, communiter de utroque procedit', pp. 528.110-529.115 — **23-31.** Ὁ δὲ-ἰδίως] cf. Sylv. Syrop., *Resip.*, p. 396.62-67

---

**14.** ante Τὶ δέ scr. τίνες οἱ ἐκ μόνου τοῦ π(ατ)ρ(ὸ)ς λέγοντες ἐκπορεύεσθαι τό πν(εῦμ)α τὸ ἅγιον: in marg. V — Τί BDGMOV: Εἴ Z — οὐχ' ἑτέρωθεν G — οὐ τὸ] οὕτω Z — **15.** ἐξ' ἄλλης L — ὑποθέσεως] ὑποστάσεως ABDGOV — **16.** ante Ὁ δὲ scr. κυρίλλ(ου) in marg. ABCDGMOWZ — **17.** προσκυνηταὶ φησὶ G: προσκυνηταὶ φησι Z — τρεῖς] post cor. (ex τρις) B — **18.** ἀγενήτω GW — ἐν²] κ(αὶ) ALZ: καὶ ἐν G — **19.** γενηθέντι W — ἐν] om. A — **20.** τῷ-Πατρὸς] om. A — γενητῶς W — **22.** ἀπο DLZ: ὑπὸ M — **23.** ante Ὁ δὲ scr. in textu Z αὐγουστί(νου) scr. in marg. ABCDGLMOVW — Αὐγουστίνος A — **24.** πεντεκαιδεκάτω] ιε′ ABCDGLOZ — ante περὶ add. τῷ G: — **25.** ἐκπορεύεται κυρίως Z — ante Καὶ μετά scr. in textu G: τοῦ αὐτ(οῦ) scr. in marg. ABCDMOVW: — **26.** ἐξ' ἄλλου L — διὰ τοῦτο GLZ — μόνως D — **27.** ἀγένητος GW — ὁ δὲ υἱὸς GV — γεγένηται WZ — **28.** ante Ὁ ἅγιος scr. in textu Z ἱερωνύμου scr. in marg. ABCDGLMOVW — δὲ] om. CMW

πιστεύομεν φησὶ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ἰδίως. Ὁ δὲ ἐν ἁγίοις Νεῖλος, ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος λόγῳ, ἡ ἁγία φησὶ καὶ καθολικὴ ἐκκλησία, τὸν μὲν Πατέρα δογματίζει ἀγέννητον· τὸν Υἱὸν γεννητὸν ἐκ τοῦ Πατρός· τὸ Πνεῦμα δὲ τὸ ἅγιον, καὶ αὐτὸ ἐκπορευτὸν ἐκ μόνου τοῦ Πατρός, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. Καὶ μετά τινα· εἰ γὰρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ μόνου πρόεισι τοῦ Πατρός, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Καὶ μακρὸν ἂν εἴη πάντων συλλέγειν ἑξῆς τὰς φωνάς, αἳ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρός, ἐναργῶς κηρύττουσιν ἐκπορεύεσθαι. Εἰ δὲ μὴ τελέως φρονεῖς ἀνήκεστα ὁ τῆς λατινικῆς κακοδοξίας μεταποιούμενος, μὴ δὲ καθάπαξ εἰς τοσόνδε βάραθρον ἀπολισθήσας κακίας, ἀνενεγκεῖν οὐκ ἠγάπησας, οὐδὲ σαυτὸν ἀνιμήσασθαι, ἢ γοῦν τοῖς *χεῖρα* βοηθὸν *ἐπορέγουσι* προτεῖναι τὴν δεξιάν. Ὅρα μοι τῆς Δαμασκοῦ τὸ περιφανὲς βλάστημα, τὸν θεῖον Ἰωάννην φημί, οἷα τῶν καλλίστων πάντων ἡγεμόνα, καὶ διαιτητὴν ἀκριβέστατον, τῶν ὀρθῶν δογμάτων γενόμενον, καὶ πᾶσαν ἀμφιβολίαν μεθ' ὅσου περιαιροῦντα τοῦ κρείττονος, τὸν νοῦν τῶν ἐν τοῖς ἄνω χρόνοις

**ABCDGLMOVWZ**

---

**43-50.** Ὅρα-κατάλυσον] cf. *Epist.*, pp. 57.27-58.1

---

**30-31.** πιστεύομεν-ἰδίως] Hieronym., *Ad Cyril.*: 'Credimus ... in Spiritum sanctum, qui de Patre procedit proprie', col. 182.13-25 — **32-35.** ἡ ἁγία-Υἱοῦ] locum non inveni; cf. Mich. Psell., *Omnif.*, § 10.2-4, pp. 20-21 — **35-37.** εἰ γὰρ-ἐκπορευτῶς] locum non inveni; cf. Mich. Psell., *Omnif.*, § 10.9-11, p. 21 — **42-43.** χεῖρα … ἐπορέγουσι] cf. Homerum, *Ilias*, 1.351, 15.371, 22.37, 24. 506; *Odyssea*, 9.527, 12.257, 17.366

---

**31.** ἰδίως] om. Z — ante Ὁ δὲ scr. νείλου in marg. ACDGLMOVW — ἐν ἁγίοις] ἅγιος Z — **32.** καθολικῆ DGW — **33.** ἀγένητον W — τὸν δε υἱὸν BV: τὸν υἱὸν δὲ Z — γενητὸν W — **34.** τὸ (δὲ) πν(εῦμ)α GV: καὶ τὸ πν(εῦ)μα δὲ Z — **35.** post υἱοῦ scr. Καὶ μετά τινα: εἰ γ(ὰρ) κ(αὶ) τὸ πν(εῦμ)α τὸ ἅγ(ιον) ἐκ μόνου πρόεισϊ τοῦ π(ατ)ρ(ὸ)ς, ἀλλ' οὐχὶ κ(αὶ) ἐκ τοῦ υἱοῦ: dittography G — ante Καὶ scr. τοῦ αὐτ(οῦ) in marg. ABCDMOVW — **36.** γενητῶς W — **37.** ante Καὶ μακρὸν alt. man. scr. ὁταν τάς π(ατέ)ρων φωνάς τελειώσωμ(εν) in marg. C — μακρὸν] μακρὰν W — ἂν] om. Z — ἐξῆς GL — **39.** ante Εἰ δὲ scr. ἰω(άνν)ου τοῦ δαμασκηνοῦ in marg.G — μὴ δε M — **41.** τοσόν] τὸ σόν B: τόσον Z — δε] om. BZ — βαραθρον D — **44.** post βλάστημα scr. ἰω(άνν)ου τοῦ δαμασκηνοῦ in marg. L — **46.** μεθ' ὅσου] μεθόσου G: μεθ' ὅσον W — **47.** τῶν ἐν τὸν ἐν A

πατέρων, παντὸς μᾶλλον καὶ διαιροῦντα καὶ συμβιβάζοντα. Καὶ παῦσον ὀψὲ γοῦν τὴν κατὰ τῆς σεαυτοῦ κεφαλῆς διαμάχην καὶ ἀλόγιστον ἔνστασιν, καὶ τὴν ἐρεσχελίαν κατάλυσον· ἃ γὰρ ἕκαστος τῶν πρὸ αὐτοῦ διενείμαντο, ταῦτα μόνος συλλήβδην, εἶπε καὶ ἐξηγήσατο, ἄριστα πρὸς τοὺς ἀντιθέτους στρεφόμενός τε καὶ ἁπαντῶν. Οὗτος τοίνυν καὶ *προβολέα* φησὶ *τοῦ ἐκφαντορικοῦ Πνεύματος* τὸν Πατέρα, διὰ τοῦ Υἱοῦ· ἀλλὰ καὶ *μόνον αἴτιον* ἐν τῇ
M 221r ‖ Τριάδι τὸν Θεὸν καὶ Πατέρα ἐν τῷ αὐτῷ τούτῳ κεφαλαίῳ διδάσκει. Καίτοι εἰ διὰ τοῦ Υἱοῦ, ἢ καὶ ἐκ τοῦ Υἱοῦ ἔχειν τὸ Πνεῦμα τὴν αἰτίαν ἐγίνωσκεν, οὐκ ἂν διὰ τῆς *μόνος* φωνῆς, ἀφῃρεῖτο ταύτην τὰς λοιπὰς ὑποστάσεις· συμβαίνειν γὰρ ἀλλήλοις ταῦτα οὐ δύναται. Ἐῶ τ' ἄλλα τοῦ θείου τούτου πατρός· εἰ γὰρ μόνῳ τῷ περὶ τῆς ἁγίας Τριάδος αὐτοῦ κεφαλαίῳ προσεσχηκέναι τὸν νοῦν ἐθελήσειας, γνώσῃ σαφῶς, τὴν περὶ ταῦτα εὐθύτητα. Εὑρήσεις γὰρ αὐτόν, νῦν μὲν *τὸ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ ἐκ τοῦ Πατρός, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς* λέγοντα· νῦν δὲ, *ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ δι' Υἱοῦ μεταδιδόμενον, καὶ μεταλαμβανόμενον ὑπὸ πάσης τῆς κτίσεως*· νῦν δέ, *Θεὸν ἕνα*

**ABCDGLMOVWZ**

---

**50-65.** ἃ γὰρ-κτίσεως] *Epist.*, p. 58.1-32 — **65-83.** νῦν δέ-Πνεύματος] *Epist.*, pp. 58.32-59.31

---

**53-54.** προβολέα-αἴτιον] Ioh. Damasc., *Exp. fidei*, § 12b.44, p. 36 — **57.** μόνος] vide supra § **6**.34 — **62-63.** τὸ Πνεῦμα-ἐκπορευτῶς] Ioh. Damasc., *Exp. fidei*, § 8.114-115, p. 23 — **64-65.** ἐκ τοῦ-κτίσεως] loc. cit., § 8.182-183, p. 26 — **65-68.** Θεὸν-συναίρεσιν] loc. cit., § 8.260-262, p. 29

---

**48.** διαιρῡντα sscr. ο W — **49.** διὰ μάχην B — **50.** κατάλυσιν G — **52-53.** τε καὶ] τε καὶ | καὶ W — **53.** ἁπαντῶν] παντ(ῶν) L — ante Οὗτος scr. ἰω(άνν)ου τοῦ δαμασκηνοῦ in marg. ACDMOVW — **56.** διδασκει L — **57.** μόνως Z — **58.** ταύτης A — **59.** τἄλλα BCDMO — **61.** γνώση BDGLOWZ: γνώσει A — **62.** αὐτῶν D — **63.** γενητῶς W — **65.** τῆς] om. A

τὴν Τριάδα, εἰς ἓν αἴτιον τοῦ Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, οὐδὲ συναλοιφομένων, κατὰ τὴν Σαβελλίου συναίρεσιν. Πρὸς τῷ τέλει δὲ τοῦ κεφαλαίου, τὸ πᾶν συνελόντα καὶ οὕτως ἀποφηνάμενον, καλὸν δ' ἂν εἴη καὶ τὸ χωρίον ἅπαν ὡς ἔχει λέξεως ἐπελθεῖν· χρὴ γινώσκειν, ὅτι τὸν Πατέρα, οὐ λέγομεν ἔκ τινος· λέγομεν δὲ καὶ αὐτὸν τοῦ Υἱοῦ Πατέρα· τὸν Υἱόν, οὐ λέγομεν αἴτιον, οὐδὲ Πατέρα· λέγομεν δὲ αὐτόν, καὶ ἐκ τοῦ Πατρός, καὶ Υἱὸν τοῦ Πατρός· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, καὶ ἐκ τοῦ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν· ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν· «Πνεῦμα» δὲ «Υἱοῦ» ὀνομάζομεν· «εἴ τις» γὰρ «Πνεῦμα Χριστοῦ οὐκ ἔχει» φησὶν ὁ θεῖος ἀπόστολος· καὶ δι' Υἱοῦ πεφανερῶσθαι, καὶ μεταδίδοσθαι ἡμῖν ὁμολογοῦμεν· «ἐνεφύσησε γὰρ καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ· λάβετε Πνεῦμα ἅγιον». Ὥσπερ ἐκ τοῦ ἡλίου μέν, ἥ τε ἀκτὶς καὶ ἡ ἔλλαμψις —αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως—, διὰ δὲ τῆς ἀκτῖνος, ἡ ἔλλαμψις ἡμῖν μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ μετεχομένη ὑφ' ἡμῶν· τὸν δὲ Υἱόν, οὔτε τοῦ Πνεύματος λέγομεν, οὔτε μὴν ἐκ τοῦ Πνεύματος.

**ABCDGLMOVWZ**

---

**68-83.** Πρὸς τῷ-Πνεύματος] cf. Eust. Nic., *Process. Spir. Sanc.* (Orat. 1), p. 70.15-31 — **70-83.** χρὴ-Πνεύματος] Ioh. Damasc., *Exp. fidei*, § 8.286-297, pp. 30-31 — **75.** Πνεῦμα-Υἱοῦ] cf. Gal. 4:6 — **75-76.** εἴ-ἔχει] Rom. 8:9 — **77-78.** ἐνεφύσησε-ἅγιον] Ioh. 20:22

---

**66.** τὴν] om. D — **67.** συναλλοιφομ(έν)ων D: συναλειφομένων VZ — **69.** χωρεῖον A — ἅπαν] post cor. (ex ἄπαν) Z — **70.** απελθεῖν B — ante χρῆ scr. τοῦ αὐτοῦ in marg. ABV: in textu Z — **71.** καὶ] om. GOV — post πατέρα scr. (καὶ) V — **73.** δὲ] om. G — ἐκ in ras. Z — **74.** πν(εῦμ)α π(ατ)ρ(ὸ)ς] πν(εῦμ)α υἱοῦ A — **74-75.** ἐκ τοῦ Υἱοῦ-ονομάζομεν] om. A — **75.** ὀνομάζομεν] post cor. (ex ὀνο*νο*μάζομεν) νο cnc. (incl. in punc.) W — **76.** θεῖος] sscr. C: om. A — post ἀπόστολος add. οὗτος, οὐκ ἔστιν αὐτοῦ· G — **77.** μεταδίδοσθαι] δίδοσθαι Z — ante ἐνεφύσησε scr. ἐνεφύσησε in marg. C — **79.** ἔλλαμψις] post cor. (ex ἔλαμψις et sscr. λ) Z: ἔλαμψις L — ἐστιν] om. Z — **80.** ἐλλάμψεως] post cor. (ex ἐλάμψεως et sscr. λ) L

**[7] Περὶ τῶν ῥήσεων, αἳ λέγουσι καὶ ἐκ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα.**

«Ναί» φησιν, «ἀλλ' ἐχέτω ταύτῃ τὰ τῆς διά. Τί δ' ἂν εἴποις περὶ τῶν ἐναργῶς λεγόντων τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ; Ὁ μέγας γὰρ Ἀθανάσιος, ἐν τῇ ἐκθέσει τῆς πίστεως, *ὁ Πατήρ* φησιν, *ἀπ' οὐδενός ἐστι ποιητός, οὔτε κτιστός, οὔτε γεννητός· ὁ Υἱός, ἀπὸ τοῦ Πατρὸς μόνου ἐστίν, οὐ ποιητός, οὐδὲ κτιστός, ἀλλὰ γεννητός· τὸ Πνεῦμα τὸ ἅγιον, ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, οὐ ποιητόν, οὐδὲ*
M 221v *κτιστόν, ἀλλ' ἐκπορευτόν*. Καὶ πάλιν· ‖ *τὸ Πνεῦμα τὸ ἅγιον, ἐκπόρευμα ὂν τοῦ Πατρὸς καὶ τοῦ φέροντος Υἱοῦ, δι' Υἱοῦ ἐπλήρωσε τὰ πάντα*». Ἀλλ' ἐκεῖ μὲν ὦ σοφώτατοι πρὸς τοὺς κατάγειν εἰς κτίσμα τὴν ὑπερκόσμιον φύσιν πειρωμένους τοῦ Πνεύματος, ἀντιστήσας τὸν λόγον, ὁ περιφανὴς οὑτοσὶ τῆς εὐσεβείας πρόβολος, καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ δεῖξαι θέλων τὸ Πνεῦμα, καὶ οὐ κτιστῆς φύσεως, *ἀπὸ τοῦ Πατρὸς* μὲν εἶπεν εἶναι τοῦτο *καὶ τοῦ Υἱοῦ* —ἤτοι τῆς οὐσίας ἐκείνων, καὶ οὐχ

**ABCDGLMOVWZ**

---

**[7] 3-7.** ὁ Πατήρ-ἐκπορευτόν] Ps.-Athan. Alex., *Symb.*, col. 1587.21-27 — **5-7.** τὸ-ἐκπορευτόν] cf. *Synodicon Ioh. Beccum*, p. 583.11-13 — **7-9.** τὸ Πνεῦμα-πάντα] Athan. Alex. apud Marcel. Ancyr., *Exp. fidei*, § 4.6, p. 56; cf. *Synodicon Ioh. Beccum*, p. 583.10-11 — **13-14.** ἀπὸ-Υἱοῦ] vide supra § **7**.4-5

---

**[7] Tit.** scr. in textu A: περὶ τῶν ῥήσεων· αἳ λέγουσι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγ(ιον) (τὸ ἅγιον) om. G (τὸ ἅγιον πν(εῦμ)α BDMOVW) scr. in marg. BCGDLMOVW — **1.** ante Ναί φησιν sign. in marg. C — εἴπης A: εἴπεις G — **2.** ἐναργῶς] post cor. (ex ἐναρχῶς) L — ante Ὁ μέγας scr. ἀθανασ(ίου) in marg. ACDGLMOV — γὰρ] om. GW — **4.** ἐστὶ B: ἐστῖν GL — γεννητός] γενητός W: γεννητῶς G — **5.** μόνου] post cor. (ex μόνον) L: μόνον A — ἐστὶν ACGLOV: ἐστιν Z — ποιητὸς] post cor. (ex πεοιητος?) L — οὐδὲ] οὐ GZ — γεννητ(ῶς) G: γενητός W — ἀλλὰ γεννητὸς] om. A — **6.** οὐδὲ] οὐ GZ — **7.** post κτιστὸν add. οὐ γεννητὸν B — ἐκπορευτὸν ACGLMZ — ante Καὶ πάλιν scr. τοῦ αὐτ(οῦ) in marg. ACDLMOV — *τὸ ἅγιον* in ras. Z — **8.** post πατρὸς add. ἀεὶ ἐν τ(οῖς) χερσὶ τοῦ πέμποντος π(ατ)ρ(ὸ)ς B — Υἱοῦ²] οὗ B — **9.** σοφότατοι L — **10.** ὑπερκόσμιον] post cor. (ex ὑπὲρ κόσμιον) D: ὑπὲρ κόσμιον Z — φύσιν] φήσιν L — **12.** πρόβολος] περίβολος et sscr. πρό (per πρόβολος) C — **14.** εἶναι] om. G — **14-15.** οὐχ' ἑτεροούσιον GW

ἑτεροούσιον— ἐκπορευτὸν δέ, ἐκ τοῦ Πατρὸς δηλαδή· οὐ γὰρ περὶ τούτου ζυγομαχεῖν εἶχέ τῳ τότε ἀνάγκην, ἅτε τῇ κοινῇ τῶν πιστῶν ἀρκεσθεὶς ὑπολήψει, καὶ τῇ τοῦ Σωτῆρος ἀληθεῖ μαρτυρίᾳ, μὴ δὴ τὸ ἐκπορευτὸν εἰς ἄμφω τὸν Πατέρα ἑλκύσης καὶ τὸν Υἱόν, ἀλλὰ τὸ ἀπὸ Πατρὸς καὶ Υἱοῦ, διὰ τὸ ὁμοούσιον νόησον, καὶ τὸ μὴ εἶναι ποιητόν, ἢ κτιστόν. Τό γε μὴν *ἐκπορευτόν*, τῷ Πατρὶ μόνῳ σύναψον· οὕτῳ γὰρ ταῖς προεκτεθείσαις ἡμῖν τοῦ ἁγίου ῥήσεσιν, αἳ τὸν πατρικὸν καὶ ὑγιαίνοντα νοῦν σαφῶς παριστῶσι, καὶ ταῖς ἐν τῇ λοιπῇ τοῦδε πραγματείᾳ, διεσπαρμέναις, καὶ ταύτην καλῶς ἐφαρμόσας, ἴδοις ἂν κατάκρας ἐκείναις τῇ διανοίᾳ συμβαίνουσαν· οὐ γὰρ τοσοῦτον ὁ πολυόμματος νοῦς ἐκεῖνος, ἢ ἑαυτοῦ ἐπιλέλησται, ὡς τἀναντία περὶ τῶν αὐτῶν γράφειν καὶ ἀποφαίνεσθαι, καὶ κατ' αὐτὸς αὐτοῦ φερόμενος ἀγνοεῖν, ἢ ἑκών, γνώμας ἐναντιωτάτας ἀλογίστως εἰσφέρειν ἐμηχανήσατο. Ὃ μὴ δ' ἂν εἷς νοῦ καὶ φρενῶν κύριος ὤν, εἵλετο πράξαι ποτέ. Τὸ δὲ *ἐκπόρευμα* εἶναι *τοῦ Πατρὸς* εἰπεῖν, *καὶ τοῦ Υἱοῦ* τὸ Πνεῦμα τὸ ἅγιον, καθ' ὁμωνυμίαν αὐτῷ εἴρηται· εἰ γὰρ καὶ ταμάλιστα ἡ ἐκπόρευσις ἐπὶ τῆς τοῦ Πνεύματος οὐσιώσεως ἐπὶ τῇ θείᾳ γραφῇ

**ABCDGLMOVWZ**

---

**20.** ἐκπορευτόν] Ps.-Athan. Alex., *Quaest.*, col. 777.31; vide supra § **7**.7 — **30.** ἐκπόρευμα-Υἱοῦ] Ps.-Athan. Alex., *Synt.*, col. 1404.17; vide supra § **7**.8

---

**15.** ἐκ τοῦ Πατρὸς δὲ, ἐκπορευτ(ὸν) δηλαδὴ G — **16.** εἶχε τω τότε CDMOVW: εἶχε το τότε Z: εἶχε τῶ τότε ABGL — **17.** σωτῆρος] π(ατ)ρ(ὸ)ς A — μαρτυρία] post cor. (ex μάρτυρια) W — **18.** εἰς ἄμφω ἑλκύσης τὸν π(ατέ)ρα καὶ τὸν υί(ὸν) ALZ — υἱόν] post cor. (ex υἱὸν) D: υἱὸν ACGLMVWZ — **19.** post ἀπὸ add. τοῦ G — post καὶ add. τοῦ BV — νόησον] om. L — **21.** προ ἐκτεθείσαις BL: πρὸ ἐκτεθείσαις G — **22.** παριστῶσιν L παριστᾶσι B — **24.** ἐφαρμώσας Z — κατ' ἄκρας AGZ — **25.** νοῦς] om. L — **26.** ταναντία B: τ' ἀναντία W — τῶν] om. G — **28.** γνόμας Z — εἰσφέρειν] ἐκφέρειν W — ἐμηχανίσατο Z — **28-29.** ὃ μὴ D — **29.** εἵλετο ABDGLOZ — πρᾶξαι BDGMOV — πράξαι ποτὲ] om. Z — ποτὲ CDGL — **30.** post καὶ τοῦ scr. et del. ἁγί(ου) L — **31.** καθομωνυμίαν BDOW: καθ' ὡμονυμί(αν) G

λέγεται, ἀλλ' οὐχ ἡ ἁπλῶς ἐκπόρευσις, ἀλλ' ἡ ἐκ τοῦ Πατρός· τὸ γὰρ *Πατὴρ* ὄνομα καὶ μόνον, τὴν γόνιμον ἀρχὴν δηλοῖ καὶ αἰτίαν θεότητος καθὸ καὶ *πηγαία θεότης* λέγεται· ἡ δέ γε *ἐκ τοῦ Υἱοῦ*, οὐχ ὕπαρξιν εὕρηται δηλοῦν, *ἀλλὰ* πρόεσιν, καὶ ἔκφανσιν, καὶ ἔκλαμψιν, καὶ ὅσα εἴρηται· οἷα γὰρ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μόνως ἀληθῶς ἐξ ἑνὸς καὶ αὐτὸ τοῦ μόνου Πατρὸς ἐκπορεύεται. Καὶ ταύτῃ θαρρῶν ὁ μέγας τῇ ἐννοίᾳ, καὶ τῷ πολλάκις ἤδη τὴν ἀκριβῆ τῆς ὑπάρξεως τοῦ Πνεύματος αἰτίαν θεολογῆσαι, ὅτι
M 222r ἐκ τοῦ Πατρὸς καὶ τὸ πρὸς ἕτερα ἐπείγεσθαι, κἀκεῖσε τὸν ‖ νοῦν ἔχειν, οὕτως ἁπλῶς εἴρηκεν, οὐδὲν μελῆσαν αὐτῷ τῆς ἐνθάδε διαστολῆς.

**ABCDGLMOVWZ**

---

**35.** πηγαία θεότης] vide supra § **6**.4-5 — **35.** ἐκ τοῦ Υἱοῦ] vide supra § **6**.74

---

**33.** οὐχ ἡ] οὐχὶ G — **34.** γόνϋμον Z — **35.** ἡ] εἰ Z — **36.** ἔκφανσιν] post cor. (ex ἔκφασιν et sscr. ν) A: ἔκφασιν D — **37.** ἔκλαμψιν] ἔλλαμψιν WZ — γαρ B — **38.** μόνος DLZ — **39.** καὶ ταύτη] om. Z — θαρρὼν ABDLOW — **40.** θεολογήσας G — **41.** πρὸς] om. Z — κακεῖσε DO

**[8] Ὅσων ἐκ τῶν τοῦ ἁγίου Κυρίλλου, οἱ Λατῖνοι ἐπιλαμβάνονται.**

Ἀλλὰ γὰρ *ὄψις πόρνης ἐγένετό σοι* φησίν, ἀπηναισχύντησας πρὸς πάντας. Καὶ γὰρ ἐκεῖναι τὰ ἑαυτῶν ὀνείδη, τοῖς σεμνῶς βεβιωκόσι προστρίβονται, καὶ οὗτοι τὰς τῶν ἁγίων φωνὰς ὑποσύροντες, ὡς ἄν τινες ἱερόσυλοι, μᾶλλον δὲ βωμολόχοι, οἷα τοῖς ὀρθοῖς δόγμασιν ἀντιπίπτειν ἐμμελετῶντες ἀεί, καὶ ἀπ' αὐτῶν ἐκείνων τῆς σφετέρας πλάνης θηρᾶσθαι κακούργως τὰς ἀφορμάς, εἰς αὐτοὺς ἐνυβρίζουσι τοὺς ἁγίους ἀνέδην· ὁ γὰρ ἑτέροις τὰς αἰτίας προσάπτων τῆς περὶ τὴν ὑγιᾶ πίστιν καινοτομίας, τὰς αὐτῷ προσηκούσας, ἀληθείας δικαζούσης, ὕβρεις ἐπ' ἐκείνους δήπου μεθίστησι. Καὶ πρόσκειται τὸ τῆς συκοφαντίας πάσης ὕβρεως μᾶλλον, τῶν περιπλείστου ποιουμένων τὸ εὐσεβεῖν, καθαπτόμενον· ἐπιλαμβάνονται γὰρ καὶ τῶν τοῦ μεγάλου Κυρίλλου ἔστιν ὧν συγγραμμάτων, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ ὑπάρχειν λεγόντων *οὐσιωδῶς*· φησὶ γὰρ ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον περὶ τῆς ὀρθοδόξου πίστεως προσφωνητικῷ· *τὸν*

**ABCDGLMOVWZ**

---

**[8] 13-14.** τὸ Πνεῦμα-οὐσιωδῶς] cf. Niceph. Blem., *Process. Spir. Sanc.* (Orat. 1), col. 536.32-33

---

**[8] 1.** ὄψις-σοι] Ier. 3:3 — **14.** οὐσιωδῶς**]** vide infra § **8**.24 — **15-20.** τὸν-αὐτοῦ] Cyrill. Alex., *Incarn.*, § 706, p. 274.1-6

---

**[8] Tit.** scr. ὅσων ἐκ τῶν τοῦ ἁγ(ίου) κυρίλλ(ου) οἱ λατίνοι ἐπιλαμβάνονται in marg. CMOVW: in textu D — ὅψις GLZ — **2.** ὀνείδη] om. W — **3-4.** ὡς ἄν τινες B: ὡσάντινες A — **4.** βωμο|(….)λόχοι lac. (4 litt.) G — **5.** ἀντιπίπτην D: ἀντιπίπτει Z — **6.** θηράσαι W — **7.** ἐν ὑβρίζουσι G: ὑβρίζουσι ALZ — ἀναίδην GLWZ — **9.** δικαζούσας LZ — δήπου] om. G — **11.** περὶ πλείστου AGLMV — **12.** ante ἐπιλαμβάνονται scr. ὅσων ἐκ τῶν τοῦ ἁγ(ίου) κυρίλλ(ου) οἱ λατίνοι ἐπιλαμβάνοντ(αι) scr. in marg. BL: in textu A: scr. κυρίλλ(ου) in marg. ACDLMOVW — **14.** προς BDO

*ἄνδρα τὸν ὅσον οὔπω παρεσόμενον καὶ ὀφθησόμενον, αὐτὸν ἔφη βαπτίζειν ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι· οὐκ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα Πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς· ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ.* Ἑρμηνεύων δὲ καὶ τὸν ἔνατον ἀναθεματισμόν, φησίν· *ἄνθρωπος γεγονὼς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἀπομεμένηκε, καὶ οὕτω Θεὸς πάντων, ὑπάρχων, ὅσα καὶ ὁ Πατήρ, δίχα μόνου τοῦ εἶναι Πατήρ· καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ, καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ ἅγιον Πνεῦμα.* Ἀλλ' οὐδὲν οὕτω κατὰ τῆς αὐτῶν ἵσταται ἀπονοίας, ὡς αἱ ὑπερφυεῖς αὗται τοῦ ἁγίου ῥήσεις, καὶ τὰ πλήρη σοφίας δόγματα. Δῆλον δέ, τῷ καὶ μικρὸν ἐπιστήσαντι· ὁ γὰρ τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων μέγας ἐκεῖνος καὶ ἀκράδαντος πρόβολος, διὰ μάχης ἦκων τῷ δυσσεβεῖ Νεστορίῳ, ἀκολάστῳ γλώττῃ τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ψιλὸν ἄνθρωπον λέγοντι, καὶ ἐν ἀλλοτρίᾳ δυνάμει τῷ Πνεύματι τῷ ἁγίῳ, τὰς θεοπρεπεῖς ἐκείνας ποιοῦντα τερατουργίας, οὐκ εἶχεν ἄλλως τὴν τοῦ βδελυροῦ ἐκείνου παραπληξίαν, σώφρονι λογισμῷ, λῆρον ἀπελέγξαι σαφῆ· τὸν δὲ

**ABCDGLMOVWZ**

---

**20-24.** Ἑρμηνεύων-Πνεῦμα] cf. *Epist.*, pp. 48.33-49.7

---

**21-24.** ἄνθρωπος-Πνεῦμα] Cyrill. Alex., *Expl.*, p. 23.20-22

---

**16.** οὔπω] οὕτω L — ὀφθησόμ(εν)ον illeg. Z — ἔφη] εἶπε V: εἶπε ἔφη B — **17.** ἀλλότριον] post cor. (ex ἄλλο et sscr. τριον) L — **18.** ἐνιέντα] ἀνιέντα LZ — ὑπουργικῶς lac. M — **19.** καταφύσιν ABDG — τὸ] τὸν L — ἐξ' αὐτοῦ DW — **20.** ante Ἑρμηνεύων scr. τοῦ αὐτ(οῦ) in marg. ACDLMOVW — Ἑρμηνεύων illeg. Z — ἔνατον] θ′ ACLZ: ἕνατον BG — **21.** ὁ τοῦ Θεοῦ μονογενὴς λόγος Z — **22.** ἀπομεμόνηκε B — πάντων] πάντα GMW — **23.** μόνου] μόνον Z — ante καὶ ἴδιον scr. alt. man. ὦ πόσας λήμμας οὐ μόνον ἐπὶ τοὺς τοῦ σώματος ὀφθαλμοὺς ἀλλά καὶ ἐπὶ τοὺς τῆς ψυχής πολύ μᾶλλον ἔχεις ὑπ' ἀμαθί(ας): in marg. L — ἐξ' αὐτοῦ W — **24.** ἐμπεφυκὼς L — **26.** τῶ καὶ] καὶ τῶ GZ: τῶ κατὰ A — **28.** διαμάχης GMOV — **29.** νεστο*ρίω* in ras. B — **31.** ἐκεῖνας D — **33.** σώφρονι] σύφρονι L

M 222v *Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, Θεὸν* εἶναι ‖ ἀληθῆ ἀποφήνασθαι, καὶ ὡς *οὐκ ἀλλότριόν* ἐστι τῆς ὑποστάσεως αὐτοῦ τὸ συμφυὲς αὐτοῦ Πνεῦμα, καὶ ὁμοούσιον, ἢ οὕτως ὀρθῶς πάνυ δογματίσαι καὶ εἰπεῖν, ὡς ἐκ τοῦ Υἱοῦ ὑπάρχει *οὐσιωδῶς* τὸ Πνεῦμα τὸ ἅγιον, *ἐξ αὐτοῦ* δηλαδὴ τοῖς ἀνθρώποις διδόμενον, τὸ φύσει προσὸν αὐτῷ καὶ οὐ κατὰ μέθεξιν· οὐ γὰρ τὴν καθ' ὑπόστασιν οὐσίωσιν ἐμφῆναι βουλόμενος τοῦ ἁγίου Πνεύματος, ἐκ τοῦ Υἱοῦ ὑπάρχειν εἴρηκεν, ἀλλὰ τὴν εἰς ἀνθρώπους ἐκ τοῦ Υἱοῦ πρόχυσιν καὶ μετάδοσιν. Ἄξιον τοῦ ἐν αὐτῷ λαλοῦντος Πνεύματος ἐξευρὼν μηχάνημα τοῦ ἀνάστατον θέσθαι τὸ τῆς ἀσεβείας ὀχύρωμα, οὐ κατὰ τὴν τῶν Λατίνων τοῦτο εἰπών, ἔκτοπον καὶ σφαλερὰν διάνοιαν. Καὶ δῆλον ἐκεῖθεν· τοῦ γὰρ μακαρίου Θεοδωρήτου, διαφορὰν πρὸς αὐτὸν ἐσχηκότος, καὶ ταυτησὶ τῆς λέξεως ἐπιλαβομένου καὶ εἰπόντος, *εἰ μὲν ὡς ὁμοφυὲς καὶ τοῦ Πατρὸς ἐκπορευόμενον, ἔφη, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν, εἰ δ' ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ, τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον καὶ δυσσεβὲς ἀπορρίψομεν*. Ὁμολογεῖ μὲν ὁ μέγας αὐτίκα Κύριλλος, τρανῶς τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι·

**ABCDGLMOVWZ**

---

**45-50.** Καὶ δῆλον-ἀπορρίψομεν] cf. *Epist.*, p. 49.7-17 — **50-54.** Ὁμολογεῖ-ἐμφαίνων] cf. *Epist.*, p. 49.23-31

---

**34-38**. Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, Θεὸν … οὐκ ἀλλότριόν … οὐσιωδῶς … ἐξ αὐτοῦ] cf. Cyrill. Alex., *Trinit.* (Dialog. 7), § 648, p. 192.23-25; cf. supra § **8**.17, 23-24, 29-30 — **47-50.** εἰ-ἀπορρίψομεν] Theod. Cyr., *Impugn.*, p. 134.10-12

---

**36.** αὐτοῦ] αὐτῷ BGV — **36.** ἢ] καὶ LZ — **38.** ἐξ' αὐτοῦ W — φύσει] φύσιν Z — **39.** καταμέθεξιν BGLZ — καθυπόστασιν ODVBW — **42.** ἐξ εὑρὼν G — **45.** ἐκεῖθεν] om. LZ — γὰρ] om. B — θεοδωρίτου ABCDGMOVZ — **47.** ἐπιλαβομένου] ἐπιλαμβανομένου Z — καὶ τοῦ] τῷ υἱῷ, τοῦ δὲ B — συνωμολογήσομεν M: συνωμολογήσωμεν G: συνομολογήσωμεν W — ὁμολογήσομεν ἔφη Z — **49.** τὴν φωνὴν εἰ δ' ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ] om. in textu et scr. in marg. Z — **50.** post βλάσφημον add. τοῦτο B — ἀπορρίψωμεν W — post μὲν add. γὰρ G — **50-51.** ὁ μέγας αὐτίκα] αὐτίκα ὁ μέγας B: αὐτίκα ὁ μέγας per sscr. β' et α' C

εἶναι δὲ προσεπάγει καὶ τοῦ Υἱοῦ *οὐκ ἀλλότριον*· καὶ διατοῦτο ἐξ αὐτοῦ, τοῖς ἀνθρώποις λέγομεν δίδοσθαι, τὸ ἀκριβὲς ἐντεῦθεν τῆς ὁμολογίας ἐμφαίνων. Ὥστε τὸ λέγειν κατὰ τὸν ἅγιον Κύριλλον, *τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ὑπάρχειν οὐσιωδῶς*, ὅσιόν τε ὁμοῦ καὶ ἀκίνδυνον· ἄλλο γὰρ τὸ λέγειν, ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον —ὅπερ οὐδέπω καὶ νῦν τῶν τις ἁγίων εἰπεῖν τετόλμηκεν οὐδαμοῦ, τῆς τοῦ Χριστοῦ σαφῶς ὂν ἀλλότριον παραδόσεως— καὶ ἄλλο τὸ κατ' οὐσίαν ἐκ τοῦ Υἱοῦ ὑπάρχειν ἁπλῶς· τὸ μὲν γάρ, μόνῳ πρόσεστι τῷ Πατρί, τὸ δέ, καὶ ταῖς τρισὶν ὁμοῦ ὑποστάσεσι· τὸ γὰρ λέγειν ἐκ τῆς οὐσίας εἶναι τόδε τοῦ δεῖνος, κατ' οὐδὲν ἄλλο σημαινόμενον λέγεται, ἢ κατὰ μόνην τὴν ὁμοουσιότητα· ὡς καὶ Ἰωάννην φαμέν, ἐκ τῆς οὐσίας Πέτρου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀνθρώπων, οὐχ ὅτι πάντας ἔσχε τοκέας, καὶ τῆς ὑπάρξεως αἰτίους, ἀλλ' ὅτι τῆς αὐτῆς αὐτῶν ἐστιν οὐσίας καὶ φύσεως. Κατὰ τοῦτο τοίνυν τὸ σημαινόμενον οἱ θεῖοι πατέρες, τὸ Πνεῦμα ἔφησαν ἐκ τῆς οὐσίας εἶναι τοῦ Υἱοῦ, οὐ μὴν κατὰ λόγον αἰτίας· τὸ γὰρ αἴτιον, καὶ τὸ αἰτιατόν, καὶ τὸ ἀγέννητον, καὶ
M 223r τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν, ‖ οὐκ εἰσὶν οὐσίας, ἀλλ' ὑποστάσεως

**ABCDGLMOVWZ**

---

**52.** οὐκ ἀλλότριον] vide supra § **8**.35 — **55.** οὐσιωδῶς] vide supra § **8**.24; **8**.37

---

**52.** διὰ τοῦτο LZ — **52-53.** ἐξ' αὐτοῦ W — **55.** ὑπάρχειν] post cor. (ex ὑπάρχει et sscr. ν) C: ὑπάρχει BDGMOVW — ante ὅσιόν τε alt. man. scr. *παρισίαν ἐχόν πρός τι* in marg. A — **56.** ante ἄλλο scr. in marg. ση(μείωσαι) G — post Υἱοῦ add. ἤτοι τῆς ὑποστάσεως αὐτοῦ B — **57.** τὸ ἅγιον] om. ACLZ — **57-58.** τετόλμηκεν εἰπεῖν G — **59.** ἐκ] om. ACLZ — **60.** τῶ ABCDGLMOVW: τῷ Z — **61.** ὑποστάσεσιν GVW — τό²] τόν BDGMOVW — **62.** δῖνος Z — **63.** post οὐσίας add. εἶναι BV — **64.** οὐχ' ὅτι W: οὐχότι B — **65.** αὐτῆς] om. G — ἐστιν] sscr. et scr. in marg. G: ἐστίν B: ἐστὶν Z — **66.** τοῦτο] post cor. (ex τοῦτω) L — **68.** τὸ sscr. Z — ἀγένητον W — **69.** γενητὸν W

δηλωτικά· περὶ γὰρ τὴν οὐσίαν, οὐ ταῦτα οὐσία· ὥσπερ δὴ καὶ τὸ προϊέναι, καὶ προχεῖσθαι, καὶ προέρχεσθαι οὐσιωδῶς διὰ τοῦ Υἱοῦ, ἢ ἐκ τοῦ Υἱοῦ, ἢ ἐπίσης ἐκ Πατρὸς καὶ Υἱοῦ, τῆς χορηγουμένης θείας χάριτος καὶ ἐνεργείας τοῦ παναγίου Πνεύματος εἰσὶ δηλωτικά, οὐ τῆς ὑπάρξεως αὐτοῦ. Καὶ μάλιστα, εἰ μετὰ αἰτίας τινὸς αἱ λέξεις αὗται προφέρονται, ἤγουν τισί, καὶ ἕνεκα τοῦδε, ὡς ἔχει καὶ τὸ τοῦ Δαμασκηνοῦ θείου Ἰωάννου, *ἵλεων νέμοις ἡμῖν· Πνεῦμα μεταδοτικὸν ἀγαθότητος, ἐκ Πατρὸς διὰ σοῦ προερχόμενον*. Φυσικῶς δὲ εἴρηται καὶ οὐσιωδῶς, πρὸς ἀντιδιαστολὴν τῶν οὐ φυσικῶς τὴν δωρεὰν αὐτοῦ μεταδιδόντων ἑτέροις, ὡς ἐπὶ τῶν ἀποστόλων· *ἐπετίθεσαν γὰρ τὰς χεῖρας ἐπὶ τοὺς πιστεύσαντας, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον*· ὅπερ εἶχον αὐτοὶ κατὰ μέθεξιν καὶ δωρεάν· *δωρεὰν γάρ* φησιν *ἐλάβετε, δωρεὰν δότε*.

**ABCDGLMOVWZ**

---

**74-77.** Καὶ μάλιστα-προερχόμενον] cf. *Epist.,* p. 20. 17-26 — **76-77.** ἵλεων-προερχόμενον] cf. Niceph. Blem., *Process. Spir. Sanc.* (Orat. 1), col. 557.32-33 — **82.** δωρεὰν-δότε] cf. *Epist.,* p. 19.31-32

---

**76-77.** ἵλεων-προερχόμενον] cf. Ioh. Damasc., *Παρακλητική*, ἦχος γ′, ᾠδὴ θ′, κανὼν Σταυροαναστάσιμος, p. 102 — **80-81.** ἐπετίθεσαν-ἅγιον] Act. 8:17 — **82.** δωρεὰν-δότε] Matth. 10:8

---

**70.** γὰρ] μὲν Z — **71.** τοῦ] om. G — **73.** παναγίου] ἁγίου G — εἰσι Z — **74.** post εἰ add. καὶ LZ — **75.** αὗται B — προφέρονται] προσφέρονται GLZ — **76.** post Δαμασκηνοῦ add. κ(αὶ) D — **78.** ante Φυσικῶς scr. ἰω(άννου) τοῦ δαμασκηνοῦ in marg. G — οὐσιωδῶσι L — **80.** post χεῖρας scr. et cnc. (incl. in punc.) αὐτ(ῶν) Z — **81.** post ἐλάμβανον add. τῶ Z — ἅγιον πν(εῦμ)α Z — **82.** αὐτοὶ] om. ACLZ

**[9] Ὅπως οἱ ἅγιοι πολλάκις ἀναγκαζόμενοι, καὶ τῆς ἀκριβείας παρεσύρησαν.**

Ἐπεὶ δὲ οἱ τὸ λατινικὸν ἐν αἰδοῖ τῇ μεγίστῃ μὴ αἰδούμενοι τίθεσθαι φρόνημα, καί τινας ἄλλους τῶν ἱερῶν πατέρων οὕτως εὑρεῖν ἐκδεδωκότας προβάλλονται, περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἵστωσαν ἑαυτοὺς οἱ τοιοῦτοι, μακρὰν τῆς ἀληθείας ἀποβεβουκολημένους. Ἀπαιδεύτως γὰρ τῶν γεγραμμένων ἀκούοντες, οὐκ ἂν φθάνοιεν εἰς μυρίους ἐμπίπτοντες *κρημνοὺς ἀπωλείας*. Τῶν γὰρ ἐπ' εὐσεβείᾳ βεβοημένων πατέρων ἔνιοι, ὅσα καὶ οἱ τῶν ἰατρῶν ἄριστοι, πρὸς τὸ κατεπεῖγον τῶν νοσημάτων ἐκθύμως ἱστάμενοι, καὶ τὴν ἐφ' ἑαυτοῦ ἕκαστος ἀναφυομένην τῆς αἱρέσεως βλάστην αὐταῖς ῥίζαις ἐξελεῖν μηχανώμενοι, πρόνοιαν οὐκ ἔσχον, εἴ τι που καὶ τῆς ἀκριβείας περαιτέρω τοῖς ἑαυτῶν λόγοις ἐντάξειαν, ἐκ περιουσίας τὴν κατ' ἐκεῖνο τοῦ χρόνου μόνην κινουμένην αἵρεσιν περιελεῖν, σπουδῇ τῇ πάσῃ χρησάμενοι. Ἀλλ' οὐ νόμος ἐκκλησίας τὸ σπάνιον, οὐδὲ τὰ ἑνός που τυχὸν καὶ ἰδίᾳ τί γράψαντος, τῶν δέ γε πλειόνων πατέρων, ἵνα μὴ λέγω συμπάντων

**ABCDGLMOVWZ**

---

**[9] 6-7.** κρημνοὺς ἀπωλείας] Phot., *Hom.*, p. 176.13

---

**[9] Tit.** ὅπως οἱ ἅγιοι πολλάκις ἀναγκαζόμενοι, καὶ τῆς ἀκριβείας παρεσύρησαν scr. in marg. CDLMOVW: in textu A — **1.** ἐν αἰδῶ L: ἐναιδοῖ G — μεγίστῃ] πάσῃ et sscr. μεγίστῃ C — **2.** τίθεσθαι] om. W — **7.** ἀπωλείας] ἀσεβείας BDOV — βεβοημένων] om. A — **8.** κατεπεῖγον] κατεπεῖ W — **10.** βλάστην] βλάβην AV — **12.** περιουσίας] περι οὐσίας Z — μόνην] μονὴν B — **13.** αἵρεσιν B

καὶ κοινῇ συμφωνησάντων, ἐλευθέρᾳ καὶ γνώμῃ καὶ γλώττῃ νικᾶν προσήκει τὰ δόγματα. Τῆς μέντοι γε περὶ τὸ ὀρθὸν τοῦ λόγου ταυτησὶ τῶν πατέρων —πῶς ἂν εἴποιμι εὐπρεπῶς;— ἐκπτώσεως, ἢ περιπετείας, ἢ ἐπηρείας, τὰς ἀποδείξεις παρασχεῖν, οὐ πολλοῦ πόνου. Ὁ θαυματουργὸς καὶ μέγας Γρηγόριος, ὁ τοὺς τῶν ἀληθινῶν δογμάτων χρησμούς, ἄνωθεν κατενεχθέντας αὐτῷ δεξάμενος ‖ ἐναργῶς, πρός τινα Γελιανὸν περὶ τὴν ἑλληνικὴν πολυθεΐαν ἐπτοημένον, τὰ τῆς ἡμετέρας ἐκτιθέμενος πίστεως, τὸν *Πατέρα* εἶπε καὶ τὸν *Υἱόν*, *ἐπινοίᾳ μὲν εἶναι δύο, ὑποστάσει δὲ ἕν*. Ὅ γε μὴν μέγας Βασίλειος, τὴν φαινομένην σοφῶς διορθούμενος ἀτοπίαν, καὶ τὸν τοῦ ἁγίου σκοπὸν δεικνύς, *τοῦτο* φησίν *οὐ δογματικῶς εἴρηται τῷ ἁγίῳ, ἀλλ᾽ ἀγωνιστικῶς· καὶ οὐκ ἐδυνήθησαν συνιδεῖν, οἱ ἐπὶ λεπτότητι φρενῶν ἑαυτοὺς μακαρίζοντες*, ὅτι *τὸν Ἕλληνα πείθων, οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα· ἀλλ᾽ ἔστιν ὅπῃ καὶ συνδιδόναι τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνῃ πρὸς τὰ καίρια*. Ἦν δὲ ὁ ἀκριβὴς λόγος καὶ μάλα τῷδε προσήκων τῷ δόγματι, ὃν ὁ μέγας ᾐνίξατο Βασίλειος, οὗτος γε πάντως, ὅτι τὰ *μὲν κοινὰ* τῆς

M 223v

**ABCDGLMOVWZ**

---

**24.** Πατέρα-ἕν] Greg. Thaum., *De fide*, § 5.10-11, p. 195 — **26-29.** τοῦτο-μακαρίζοντες] loc. cit., § 5.11-14, p. 195 — **29-31.** τὸν-καίρια] loc. cit., § 5.16-19, p. 195 — **33-34.** μὲν-θεωρεῖται] cf. Ioh. Damasc., *Exp. fidei*, § 8.240, p. 28

---

**16.** κοινὴ W — **17.** Τῆς] Τοὺς A — **19.** ἐπειρείας Z — **20.** ante Ὁ θαυματουργὸς scr. γρηγ(ο)ρ(ίου) τοῦ θαυματ(ουρ)γ(οῦ) in marg. ABCDLMOVWZ — **22.** περὶ] πρὸς G — **24.** ἓν GZ — **25.** ante Ὅ γε scr. βασιλ(είου) in marg. BCGLMOVW — διορθούμενος] post cor. (ex διορούμενος) W — **26.** τοῦτο] οὕτω G — **27.** δογματ(ικός) G — ἀγωνιστικῶς] post cor. (ex ἀγονιστικῶς) L — **28.** ἠδυνήθησαν GLWZ — συνειδεῖν Z — ἐπι λεπτότητι DGZ — φρενῶν] post cor. (ex φρενών) D — **29.** ἕλληνα πείθων] ἕλλην ἀπείθων L — **31.** ἔθει τοῦ] om. ALZ — Ἦν] ἦν vel ἰῶ per ἴω(άννης) vel κ(υρίο)υ sscr. ᾽ν L — **32.** λόγος] om. W — **33.** post μέγας scr. et del. βασιλ(είου) C — ᾐνίξατο BDGOWZ: ᾐνοίξατο A — post πάντως scr. ση(μείωσαι) τά τε ἐπίνοια κ(αὶ) πράγματα θεωρούμ(εν)α ἐπὶ τ(ῆς) ἁγί(ας) τριάδ(ος) in marg. B

ἁγίας Τριάδος, *πράγματι θεωρεῖται* —ἡ μία δηλαδὴ θεότης, καὶ φύσις, καὶ *ἐξουσία*, καὶ *δύναμις*, καὶ *θέλησις*, καὶ *ἐνέργεια*—, ἡ δέ γε τῶν ὑποστάσεων *διαίρεσις*, *ἐπινοίᾳ μόνῃ* νοεῖται ψιλῇ· οὐ προσωπικὴν τολμῶσι περιγραφὴν ἐννοῆσαι, οὐδέ γε *τοπικὴν διάστασιν*, οὔτέ τι ἄλλο τῶν ἀφοριστικῶν ἰδιοτήτων, πλὴν πατρότητος καὶ υἱότητος καὶ ἐκπορεύσεως, διὰ τὸ ὑπερφυὲς ὁμοίως καὶ ὑπερούσιον τῆς τε διαιρέσεως αὐτῶν, καὶ τῆς συναφείας, ὅπερ ἐπὶ τῶν κτισμάτων ἐναντίως πέφυκε θεωρεῖσθαι· τὸ μὲν γὰρ κοινὸν αὐτῶν, ἐπινοίᾳ καταλαμβάνεται —οἷον, ἡ ἀγγελότης τυχόν, ἢ ἡ ἀνθρωπότης, ἢ ἄλλό τι τοιόνδε—, *ἡ* δὲ *τῶν ὑποστάσεων διαίρεσις*, *πράγματι* διαγινώσκεται, τοῦ τε Μιχαὴλ καὶ τοῦ Γαβριήλ, καὶ *Πέτρου* καὶ *Παύλου*, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως φύσεων. Ὁ τοίνυν ἅγιος, ἢ παρὰ τὸ μὴ βεβουλῆσθαι τὸν περὶ τῆς ἁγίας Τριάδος λόγον καθαρῶς ἀναπτύξαι, τῆς ἀσθενείας τοῦ ἀκροατοῦ μὴ προσιεμένης, τῶν δογμάτων τέως τὰ τελεώτερα, οὕτως εἴρηκεν, ἀποστολικῷ οἶμαι ζήλῳ, τοῦ τοῖς πᾶσι γινομένου τὰ πάντα, ἵνα τοὺς πάντας κερδάνῃ, ἢ νόμῳ ἀρχαίῳ, τὴν φύσιν ὑπόστασιν, προσηγόρευκεν —ἡ γὰρ ὑπόστασις, διπλῆν εὕρηται τὴν

**ABCDGLMOVWZ**

---

**35-38.** ἐξουσία-διάστασιν] cf. Ioh. Damasc., *Exp. fidei*, § 8.244-253, pp. 28-29 — **43-45.** ἡ δὲ-Παύλου] cf. loc. cit., § 8.224-228, p. 28 — **46.** Ὁ τοίνυν ἅγιος] scil. Greg. Thaum., cf. supra § **9**.20

---

**36.** μόνῃ] μόνου post cor. (ex μόνῃ?) G — **42.** γαρ G — **43.** ἀγελότης V — τοιόνδε] τοιόντε D — ἡ[2]] post cor. (ex οἱ) G — **49.** — γινομένου] γενομένου Z — **51.** προσηγόρευσεν et sscr. κ (per προσηγόρευκεν) C: προσηγόρευμεν L — ante ἡ γὰρ scr. ση(μείωσαι) in marg. G — διπλῆν] post cor. (ex διπλ(ὴν)) B: διπλὴν GW: δι(.)πλῆν lac. (1 lit.) Z

σημασίαν ἔχειν, ποτὲ μὲν δηλοῦσα τὴν ἁπλῶς ὕπαρξιν, καθὸ σημαινόμενον ταὐτόν ἐστιν οὐσία καὶ ὑπόστασις, ὅθεν καὶ πολλοῖς τῶν ἁγίων Πατέρων, ὑποστάσεις αἱ φύσεις ἐκλήθησαν, ποτὲ δέ, τὴν ἰδιοϋπόστατον ὕπαρξιν, τὴν ἐξ οὐσίας καὶ συμβεβηκότων συνισταμένην, καὶ ἀριθμῷ διαφέρουσαν, καὶ
M 224r οὖσαν ὑπὸ τὸ εἶδος, ‖ ἣν δὴ καὶ ἄτομον φαμέν—, ἢ καὶ ἐκ τοῦ περιεχομένου, δηλῶσας τὸ περιέχον, ἐπεὶ καὶ παρὰ τὸ ὑφεστάναι, ἢ ὑπὸ τὴν φύσιν ἵστασθαι λέγεται.

**ABCDGLMOVWZ**

---

**54-59.** πολλοῖς-λέγεται] cf. Cyrill. Hierosol., *Catech.*, § 24, col. 953.8-14: ‘ἢ ὑπὸ τὴν φύσιν ἵστασθαι λέγεται. εἷς θεὸς ὁ πατήρ, εἷς κύριος ὁ μονογενὴς αὐτοῦ υἱός, ἓν τὸ πνεῦμα τὸ ἅγιον ὁ παράκλητος. καὶ αὔταρκες ἡμῖν ταῦτα εἰδέναι, φύσιν δὲ ἢ ὑπόστασιν μὴ πολυπραγμόνει. εἰ γὰρ ἦν γεγραμμένον, ἐλέγομεν· ὃ οὐ γέγραπται, μὴ τολμήσωμεν. αὔταρκες ἡμῖν εἰδέναι πρὸς σωτηρίαν, ὅτι ἔστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα.’

---

**53.** ταυτὸν ἐστὶν Z — **55.** δὲ] om. Z — ἐξουσίας BGLZ — **56.** συμβεβηκότος GZ — **57.** οὖσαν Z — καὶ²] om. A: sscr. B — **58.** δηλώσας] sscr. ου (per δηλούσας) C: δηλούσας ALZ — περιέχων D — ἐπεὶ bis acc. W — **59.** ἵστασθαι om. W

**[10] Ὅθεν ἔσχον οἱ αἱρετικοί, τὰς ἀφορμὰς τῶν οἰκείων αἱρέσεων.**

Ἀλλ' ὅμως ἐντεῦθεν ἀφορμῆς ἀλόγου Σαβέλλιος ὁ Λίβυς δραξάμενος, συναλοιφὴν εἰσῆγε καὶ σύγχυσιν τῆς τρισυποστάτου θεότητος, μίαν ὑπόστασιν ἐπὶ τῆς ἁγίας Τριάδος δογματίζων τριώνυμον· τὸν αὐτόν, νῦν μέν, ὡς Πατέρα φαινόμενον, νῦν δέ, ὡς Υἱόν, ἔσθ' ὅτε δὲ ὡς ἅγιον Πνεῦμα. Ἀλλὰ γὰρ ὅρα μοι τὸ θερμὸν τοῦ ζήλου καὶ ἀκάθεκτον, οἷ κακοῦ πρόεισι· τὴν γὰρ τῆς μεσότητος στάθμην ὑπερεκπίπτον, ἑτεροκλινεῖς ποιεῖται τὰς πλάστιγγας, πρὸς κακόν, ἐκ τῶν ἐναντίων μεταπίπτον ἰσόρροπον, φυτοῦ διαστροφῆς τρόπον, ἐπὶ θάτερα πολὺ μετακλινομένου. Ὁ γοῦν πολὺς τὴν ἀρετήν, καὶ τὸν ὑπὲρ εὐσεβείας ζῆλον, μηδενὶ τοῦ ἴσου παραχωρῶν, ὁ τὸν τῆς Ἀλεξανδρείας θρόνον κοσμήσας, ἱερόμαρτυς καὶ μέγας Διονύσιος, ἐν γειτόνων οὖσαν τὴν ἀσέβειαν ὁρῶν ταυτηνί, καὶ καταβραχὺ ταῖς τῶν κουφοτέρων ἐπιφυομένην ψυχαῖς, ἀντέστησεν ἑαυτὸν τῇ τῆς πλάνης φορᾷ, ὡς ἄν γε δήπου τῆς ἐκκλησίας προβεβλημένος, καὶ πᾶν εἶδος ἐπινοῶν διορθώσεως,

**ABCDGLMOVWZ**

---

**[10] Tit.** scr. ὅθεν ἔσχον οἱ αἱρετικοὶ τὰς ἀφορμὰς τῶν οἰκείον αἱρέσεων in marg. CDLMOVW: in textu A — **1.** ante Ἀλλ' ὅμως scr. περὶ τοῦ Σαβελλίου in marg. BCDGMOVW: ση(μείωσαι) in marg. A — Ἀλλόμως D — Λίβυς] Λίβους Z: Λίβης W: om. G — δραξάμενος ὁ Σαβέλλιος G — **4.** ὡς²] om. L — **5.** ante Ἀλλὰ γὰρ scr. περὶ τοῦ ἁγίου Διονυσίου ἀλεξανδρείας in marg. BCDMOVW — **6.** πρόεισι] πρό εἰσι G — **7.** ὑπερεκπίπτον] post cor. (ex ὑπερεκπίπτων) W — πλαστιγγας B — πλά-|στιγγας in ras. L — **8.** post πρὸς add. τὸ V — μεταπίπτων Z — **9.** διαστροφῆς] διατροφῆς B — **10.** ἀρετὴν ABDLMOWZ — **12.** ἱερομάρτυς GZ — **12-13.** ὁρῶν τὴν ἀσέβειαν Z — **13.** ἐπιφυομένων B — **14.** ὡσάν AG

τέλος, ἰσχυροτέρας δεηθεὶς ἰατρείας, ταὐτὸν πέπονθεν, ὥσπερ ἂν εἰ καὶ τῶν ἰατρῶν τις, τοῖς σεσηπόσι τοῦ σώματος μέρεσι, βαθυτέραν τοῦ δέοντος ἐπενεγκὼν τὴν τομήν, μὴ δὲ τῆς ὑγιῶς ἐχούσης σαρκὸς ἀπόσχοιτο. Τῷ γὰρ δυσσεβεῖ Σαβελλίῳ, ἓν πρόσωπον ἐπὶ τῆς ἁγίας Τριάδος, ὡς ἤδη μοι εἴρηται λέγοντι, οὗτος ἀπεναντίας ἐκείνῳ φερόμενος, οὐχ ὅπως ἄλλης ὑποστάσεως ἀντεπῆγεν εἶναι τὸν Υἱόν, ἀλλὰ καὶ ἄλλης φύσεως, ἢ ὁ Πατήρ. Ἐξ ὧν αὖθις λόγων, ἡ κατὰ διάμετρον ταύτης δὴ τῆς αἱρέσεως Ἀρείου λύσσα, μεγάλας ἔσχε τὰς ἀφορμάς. Μάρτυς μοι καὶ τῶν ἐνταῦθα συμβεβηκότων, ὁ μέγας Βασίλειος· ἐρομένῳ γὰρ τῷ ἀδελφῷ Γρηγορίῳ, τῷ τῆς Νύσσης προέδρῳ, ὅπως ἔχει γνώμης περὶ τῶν συγγραμμάτων Διονυσίου τοῦ Ἀλεξανδρείας, *οὐ πάντα* φησὶ τὰ *τοῦ ἀνδρὸς τούτου* δεχόμεθα, *ἀλλ' ἔστιν ἃ καὶ* τέλεον *παραγραφόμεθα· τῆς γὰρ* νῦν πολιτευομένης *Ἀνομοίου* φωνῆς, *αὐτός ἐστι* σχεδόν, *ὁ τὰ σπέρματα* καταβαλών. Ἐκτόπως γὰρ μαχόμενος Σαβελλίῳ τῷ Λίβυι, οὐ μόνον ἑτέρας ὑποστάσεως, ἀλλὰ καὶ ἑτέρας φύσεως εἴρηκε τὸν Υἱόν· τὸ δὲ πανάγιον Πνεῦμα, καὶ παντελῶς εἰς κτίσιν κατήγαγεν, οἶμαι δέ, οὐκ ἐκ ‖ κακουργίας

M 224v

**ABCDGLMOVWZ**

---

**25-26.** ἐρομένῳ-προέδρῳ] non ad Greg. Nyss. sed ad Maxim. Philosophum — **27-30.** οὐ *πάντα*-καταβαλών] cf. Basil. Caes., *Epist.* 9, § 2.3-7, p. 38

---

**17.** εἰ] om. B — ἰᾳτρῶν L — τίς L: om. Z — **18.** τομήν] post cor. (ex τομὴν) W: τομὴν ADLZ — **20.** ἤδη] εἴδη A — **21.** ἀπενάντίας C — οὐχ' ὅπως BGLW — **22.** post καὶ add. τῆς A — **23.** ἐξ' ὧν W — καταδιάμετρον Z — **24.** λυσσα B — **25.** ante ἐρομένῳ scr. βασιλ(είου) in marg. ACDGLMOVW — ἐρομένῳ] post cor. (ex ἐρωμένω) L — **26.** τῆς] om. B — νύσης BCDLO — ἔχει] ἔχη DG — **29.** ἀνομοίου] ὁμοίου A — **32.** εἴρηται κε per εἴρηκε (?) L — **33.** κτίσιν] κτίσμα LZ

ὁ ἄνθρωπος· πλὴν εἰ καὶ τὸν μέγαν τοῦτο διέλαθε Διονύσιον, ἀλλ' ἡμῖν γε φυλακτέον, τὴν μίμησιν τοῦ σφάλματος. Αὐτοὶ δέ, τί σοι δοκοῦσιν οὗτοι, οἱ τῶν ὀρθῶν δογμάτων ἀκριβεῖς εὔθυνοι, ἡ διὰ πάσης τῆς οἰκουμένης ἐναρμόνιον ᾄδουσα τρίφθογγος λύρα; Ἆρ' οὐχὶ καὶ τῶν ὑπερσόφως αὐτοῖς δογματισθέντων, ἔστιν ἃ πρὸς τὸ καταφρονεῖσθαι μετέστη καὶ τὴν *ἐξούλης δίκην* αὐτοῖς ἐλάχομεν; Οὐκ ἔστιν εἰπεῖν· εἰσὶ γάρ εἰσι καὶ τούτων φωναί, γνώμῃ μὲν εὐσεβεῖ κατὰ τῶν ἐχθρῶς ἐχόντων πρὸς τὴν ἀλήθειαν, τηνικαῦτα τούτοις ἐξευρημέναι. Ὅτι δὲ ἄρα τοῖς τὴν ἐναντίαν μὲν ἐκείνοις, ὁμότιμον δ' ὅμως ἀσπασαμένοις εἰσαῦθις δυσσέβειαν, κακῶς ἐξελήφθησαν, πάντῃ σεσίγηνται, εἰ καὶ τῶν ἐπ' ἐκκλησίας προτιθεμένων συγγραμμάτων, οἷς ἐμφέρονται, ἀκίνητοι παντάπασι μεμενήκεσαν. Ὁ γοῦν βδελυρὸς καὶ ἔκφρων Ἀπολινάριος, ὁ τοῦ πρὸς τῇ Συρίᾳ Λαοδικείας θρόνου, πολλὴν καταχέας ὕβριν, νοῦ καὶ ψυχῆς ἀμοιρεῖν, τὸν ἐνανθρωπήσαντα Θεὸν Λόγον δογματίζων, σάρκα δὲ μόνην ἀνειληφέναι, *οὐ* δεῖν ἔλεγε *θεοφόρον* τὸν κυριακὸν ἀποκαλεῖν *ἄνθρωπον*, ἀλλὰ *Θεὸν σαρκοφόρον*. Ὁ τῆς θεολογίας τοίνυν ἐξ ἔργων ἐπώνυμος, τὴν

**ABCDGLMOVWZ**

---

**37.** τρίφθογγος λύρα] cf. Neoph. Encleis., *Παν. βίβλος,* § 14.218-219, p. 310 — **39.** ἐξούλης δίκην] Demosth., *In Midiam,* 91.5 — **49-51.** οὐ-σαρκοφόρον] cf. Ps.-Athan. Alex., *Sermo Annunt.*, col. 932.54-55; Greg. Naz., *Epist.* 102, § 18.6-7, p. 80; vide infra § **10**.54-55

---

**35.** αὐτοὶ] post cor. (ex αὗτοι) L — **37-38.** ἆρ οὐχὶ B — **39.** μετέστη; G — ἐξούλης] ἐξούλην W — ἐλάχομεν, A — **40.** γάρ] post cor. ex γὰρ G: γὰρ Z — γνώμην AZ — **41.** εὐσεβῆ Z — ἐχθρῶς] ἐχθρος et sscr. (ῶς) G — **42.** τοῖς] post cor. (ex τὴν) L — τὴν] om. B — ἐκείνοις] ἐκείνος B — **43.** δ' ὅμως] post cor. (ex δ' ὥμως) Z — ἀσπαζομένοις ALZ — εἰς ‖ αὖθις W — **45.** ἐπιφέρονται Z — **46.** ante Ὁ γοῦν scr. πε(ρὶ) ἀπολιναρίου in marg. ABCDLMOVW: in textu Z: — ἔκφρων] post ἔκ scr. et del. φθε vel φω et deinde sscr. φρων L — **47.** θρόνω D — **48.** κατεχέας B — ἐν ἀν(θρωπ)ήσαντα W — **49.** οὐ δεῖν] οὐδὲν Z — **51.** ante Ὁ τῆς scr. γρηγ(ο)ρί(ου) τοῦ θεολόγου in marg. ABCGLMOVWZ — ἐξέργων AG

ἐναντίαν ἐκείνῳ χωρῶν, ἐν ταῖς πρὸς Κληδόνιον ἐπιστολαῖς, καὶ μάλιστα τὴν ἐξαπάτην ἐπισχεῖν βουληθείς, πολλὴν ἀλογίαν καταγινώσκει τῶν οἰομένων *δεῖν προσκυνεῖν, μὴ ἄνθρωπον θεοφόρον, ἀλλὰ Θεόν σαρκοφόρον*. Ἡ δὲ Βασίλειος τῆς ἐκκλησίας στολή, ἐν τῷ εἰς τὴν Χριστοῦ γέννησιν λόγῳ, *ἔδει* φησὶ *τὸ Πνεῦμα τὸ ἅγιον, τὴν θεοφόρον ἐκείνην συστήσασθαι σάρκα*. Ἐν δὲ ταῖς ἐπιστολαῖς αὐτοῦ, οὐχ ὅπως θεοφόρον, ἀλλὰ καὶ χριστοφόρον ὠνόμασε· πρὸς γὰρ τοὺς οὐράνιον τὸ Χριστοῦ σῶμα λέγοντας, ἀπομαχόμενος, *τίς δὲ χρεία τῆς ἁγίας Παρθένου* φησίν, *εἰ μὴ ἐκ τοῦ φυράματος τοῦ Ἀδὰμ ἔμελλεν ἡ χριστοφόρος σάρξ προσλαμβάνεσθαι;* Γρηγόριος δὲ ὁ Νύσσης, ἐν τριακοστῷ τρίτῳ κεφαλαίῳ, τοῦ κατηχητικοῦ αὐτοῦ λόγου, *ἐπειδήπερ* φησίν, *οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τῆς ἡμετέρας φύσεως, ὁ θεοφόρος ἐκεῖνος ἄνθρωπος ἦν, ὁ διὰ τῆς ἀναστάσεως, συνεπαρθεὶς τῇ θεότητι*. Ἐπεὶ δ' ἐξελάβετο τὰς φωνὰς ταύτας, κατὰ τῶν ὀρθῶν περὶ τοῦ Κυρίου δογμάτων, τὸ μετ' ἐκείνους ἀναφυὲν τῆς ἀσεβείας
M 225r βλάστημα, ὁ λῆρος Νεστόριος, ‖ τοσοῦτον ἀπεβλήθησαν παρὰ τῆς ἐκκλησίας, καὶ τὸ ἀδοκίμως ἔχειν κατεψηφίσθησαν, ὅσον, οὐχ ὅτι

**ABCDGLMOVWZ**

---

**54-55**. δεῖν-σαρκοφόρον] Greg. Naz., *Epist.* 102, § 18.6-7, p. 80 — **56-57.** ἔδει-σάρκα] Ps.-Basil. Caes., *Generat.*, col. 1464.27-28 — **60-62.** τὶς-προσλαμβάνεσθαι] Basil. Caes., *Epist.* 261, § 2.13-15, p. 117 — **63-65.** οὐκ-θεότητι] Greg. Nyss., *Catech.*, § 32, pp. 116.9-117.1

---

**53.** ἐξ ἀπάτην DW — ἐπισχεῖν] ἐπιχεῖν B — **54.** δεῖν] δεῖ W — **55.** Θεόν] ἄν(θρωπ)ον Z — ante Ἡ δὲ scr. βασιλ(είου) in marg.ABCDGLMOVZ — Ἡ δὲ] Ὁ δὲ BG — **58.** ante Ἐν δὲ scr. τοῦ αὐτοῦ in marg. BCDLMOVW: in textu Z — οὐχ' ὅπως BGW — **60.** ἀπεχόμενος L — **62.** προλαμβάνεσθαι Z — νύσης BCDLMOV — ante Γρηγόριος scr. γρηγορ(ίου) νύσσ(ης) in textu Z: scr. in marg. AG: scr. τοῦ νύσης in marg. ACDMOV: scr. τοῦ νύσσης in marg. LW — τριακοστῷ τρίτῳ] λγ' ABCDGLO: γ' Z — **63.** κατηχιτικοῦ ODW — **66.** ante Ἐπεὶ scr. περὶ νεστορίου in textu Z: scr. in marg. ACDLMOVW — **68.** λῆρος] post cor. (ex κλῆρος) L — **69.** οὐχ' ὅτι BGW

γλώττῃ ταύτας προΐεσθαι, ἀλλὰ μήν, οὐδ' ἐννοεῖν ἡμᾶς ὅσιον εἶναι δεῖν ἔκρινε. Καὶ οἱ μάρτυρες ἔγγιστα· ὅ τε μέγας Κύριλλος, ἐν ἅπασι μικροῦ τοῖς αὐτοῦ λόγοις περὶ τούτου διεξιών, καὶ τὸ τῆς Δαμασκοῦ κάλλιστον θρέμμα ὁ θεῖος Ἰωάννης, σφραγὶς ὡς ἄν τις εἴποι τῶν θεολόγων γενόμενος, τῷ, πολλοστὸς μέν, ἀπ' ἐκείνων εἶναι τῷ χρόνῳ, τῇ δὲ περὶ τὴν εὐσέβειαν γνώμῃ, εὐθὺς μετ' ἐκείνους, ἢ σὺν ἐκείνοις· ὁ θεομισὴς γάρ φησι *Νεστόριος, τὸν ἐκ Παρθένου τεχθέντα, θεοφόρον εἰπεῖν ἐφρυάξατο· ἡμᾶς δὲ μὴ γένοιτο θεοφόρον αὐτὸν εἰπεῖν, ἢ ὅλως ἐννοῆσαι· ἀλλὰ Θεὸν σεσαρκωμένον*. Ἆρ' οὖν οὔ σοι δοκεῖ, τὰς τῶν πατέρων διαγράφειν φωνάς, ἐπ' ἀναιρέσει τῆς τοῦ ἀνθρωπολάτρου σκαιότητος; Οὗτος τοιγαροῦν ὁ χριστομάχος Νεστόριος, ὕλην τῆς ἑαυτοῦ κακίας, τὰς εἰρημένας τῶν διαληφθέντων πατέρων ῥήσεις εὑρόμενος, δύο φύσεις διῃρημένας καὶ ἰδιοϋποστάτους ἐπὶ τοῦ Κυρίου καθαπερεὶ ὀνειροπολῶν, ἐδογμάτιζε. Παρὸ καὶ ψιλὸν ἄνθρωπον αὐτὸν ἀπεφλυάρει, ἑνωθέντα δὲ κατὰ σχέσιν τῷ Υἱῷ τοῦ Θεοῦ. Ταύτῃ τοι, οὐδὲ Θεοτόκον, τὸ τῆς θεότητος περιούσιον τέμενος, τὴν ἁγίαν Παρθένον λέγειν, ὧ τῆς μανίας, ὁ ἀλάστωρ ἠνείχετο, ἀλλὰ

**ABCDGLMOVWZ**

---

**76-79.** Νεστόριος-σεσαρκωμένον] Ioh. Damasc., *Exp. fidei*, § 56.54-56, p. 135

---

**70.** οὐδὲ G — ὅσιον] ἄξϊον G — **72.** μικροῦ] om. G — δεξιών DO — ante καὶ τὸ scr. ἰω(ανν)ου τοῦ δαμασκηνοῦ in marg. G: in textu Z: scr. τοῦ δαμασκηνοῦ in marg. ACDGMOVW — **73.** σφραγίς V — ὡσάν τις D — **75.** δὲ] δὲ᾽ G — **76.** ἢ σὺν] ἴσην Z — φησι] om. Z — **79.** οὔ σοι] εἴ σοι A — διαγράφων A: διὰ γράφειν B — **80.** ἐπ ἀναιρέσει A: ἐπαναιρέσει G — τοῦ] om. G — σκαιότητος;] σκαιότητος: AL — ante Οὗτος scr. πε(ρὶ) νεστορίου in marg. ABCDGLMOVW — **81.** τοιγαροῦν] τοίνυν οὖν B — **82.** εὑράμενος ACLZ — **83.** καθαπερεὶ] καθάπερ B — **84.** αὐτὸν] post cor. (ex αὐτόν) L — **85.** κατασχέσιν L — **85-86.** ταύτητοι] post cor. (ex ταύτησοι) L — **86.** τὸ τῆς-τέμενος] om. W — **87.** post ἀλάστωρ scr. λέγειν Z — ἠνήχετο DMOW: ἠν εἴχετο B

Χριστοτόκον ἀνέδην ὠνόμαζε, κλῆσιν ἐξευρών, ἐπ' ἀναιρέσει τῆς
90 *θεοτόκου* φωνῆς, καὶ ἀτιμία, τῆς πᾶσαν κάτω τιθείσης τιμήν. Τούτῳ τοίνυν προσβαλὼν ὁ πολὺς τὸν λόγον, καὶ τὸν ζῆλον ἐκ πολλοῦ τῶν ἄλλων κατευμεγεθῶν, ὁ μέγας φημὶ Κύριλλος ὡς καὶ ἀνωτέρω διείληπται, καὶ μόνος, ἢ σὺν ὀλίγοις, ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχών, *μίαν φύσιν* ἐδογμάτισεν ἐπὶ *τοῦ Θεοῦ*
95 *Λόγου σεσαρκωμένην*, καλῶς ἄμφω καὶ ἑνώσας, καὶ διελών, τό τε ἓν πρόσωπον, καὶ τὰς δύο ἐπὶ τοῦ Κυρίου φύσεις. Τοῦτο δ' αὖ πάλιν, πρὸς ἀσέβειαν ἐπῆρε τὸν δυστυχῆ Εὐτυχῆ, πρὸς δέ, καὶ τὸν ὁμόφρονα τούτῳ Διόσκορον, ὃς πολὺν τὸν τῆς ἀσεβείας ἰόν, τῷ τῆς Ἀλεξανδρείας ἐναπηρεύξατο θρόνῳ· τὰς γὰρ δύο ἐπὶ Χριστοῦ
100 φύσεις οἱ κακίᾳ πάντας ἀπολιπόντες οὗτοι, εἰς μίαν συγκραθῆναι μετὰ τὴν ἕνωσιν ἐδογμάτιζον, ὡς συμβαίνειν ἐντεῦθεν, μὴ δ' αὐτὴν τὴν θεότητα, τῶν τῆς σαρκὸς παθημάτων ἠλευθερῶσθαι. Τίνας οὖν ἂν εἴη δίκαιος ὁ πολὺς τὴν σοφίαν Κύριλλος, δι' ὀργῆς
M 225v ποιήσασθαι ‖ μᾶλλον, τοὺς τὰς δύο φύσεις τοῦ θεανθρώπου Λόγου,
105 εἰς μίαν συναιροῦντας τὲ καὶ συγχέοντας, ἢ τοὺς τῇ μοναρχίᾳ καὶ τῆς ὑπερουσίου Τριάδος, διαίρεσιν καὶ πολυαρχίαν εἰσάγοντας;

**ABCDGLMOVWZ**

---

**92-93.** ὡς καὶ-διείληπται] vide supra § **10**.71-72 — **94-95.** μίαν-σεσαρκωμένην] cf. Ps.-Cyrill. Alex., *Sanc. Trinit.*, § 19, col. 1160.13-24

---

**89.** ἀναίδην GW: ἀναίδην et sscr. ε (per ἀνέδην) Z — ἐξ εὑρὼν G — ἐπαναιρέσει GL — **90.** τῆς] τ(ὴν) G — post τιμήν sign. sscr. V — **92.** κατευμεγεθὼν D — **94.** ἀντισχὼν ACDGMVWZ — τοῦ] sscr. Z — **95.** διελὼν ACDGLMWZ — τό τε] τότε ACGLZ — post τε sign. sscr. et scr. ἓν in marg. D — **96.** ante Τοῦτο scr. περὶ εὐτυχοῦς καὶ διοσκόρου in marg. ABCDGLMOVW: in textu Z — **97.** ἐπῆρε] ἀπῆρε A — **99.** post ἐπὶ add. τοῦ ACLZ — **100.** φύσεις] φύσης L — **102.** ἠλευθερῶσθαι B — **103.** ἂν] om. A — **104.** φύσεις] φύσης L — **105.** συναιροῦντας] συναιροστας vel συναιρ(οῦν)τας L

Καὶ γὰρ ἀμφοτέρους γε συνιδεῖν ἔδει, οἷς ἀντιταττόμενος, οὕτω δεῖν ἔγνω τοῖς λόγοις χρήσασθαι, καὶ μὴ ὡς ἀμαθεῖς καὶ ἀστηρίκτους, τὰς τοῦ ἁγίου ῥήσεις στρεβλοῦν, *πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν*, Πέτρος ἂν εἶπεν ὁ μέγας· εἰ γὰρ εὐθύτητι γνώμης προσεῖχον τοῖς γεγραμμένοις, σχολῇ γ' ἂν ἦ τὸν πολὺν ἐκεῖνον *πρὸς ἑαυτὸν* εὕρισκον *στασιάζοντα*, ἐγγνωμένην ἐσχηκότα τὴν ἐν τοῖς λοιποῖς συγγράμμασι, συμβαίνουσαν τῇ κοινῇ πίστει ὁμολογίαν ἢ τοὺς τῶν πατέρων ἐπ' εὐσεβείᾳ γνωρίμους, κατ' ἀλλήλων ταῖς γνώμαις κεχωρηκότας· τοὺς γὰρ τῷ αὐτῷ ἴσους, μὴ καὶ ἀλλήλοις ἴσους εἶναι, τίς ἂν εἴποι φρενὸς ὢν ὑγιοῦς; Οὐ γὰρ δὴ πρόνοιαν ἔσχον, μήποτε παραρρυῶσι, τῆς εὐσεβείας ἐκτοπισθέντες παρὰ τὸ μὴ *περισσοτέρως προσέχειν τοῖς ἀκουσθεῖσι* κατὰ τὸ λόγιον. Ἀλλ' οὐκ ἤνεγκεν ἡ κακία μὴ τὰ τοῦ τρόπου διὰ πάντων ἐνδείκνυσθαι, καὶ τὰ τῆς ἀληθείας ὁπόση δύναμις διαστρέφειν, κἀκεῖθεν εὐπροσώπους πορίζεσθαι τὰς λαβάς· ἴδιον γὰρ οὐ πέφυκε πρόσωπον ἔχειν. Ἦ γὰρ ἂν πάντες αὐτὴν ἐξετρέποντο, ὡς ἔχει φύσεως φαινομένην, φύσει πεφυκότες ἐχθραίνειν αὐτῇ. Ἀλλ' ἐκ τῶν τῆς ἀληθείας ὑποσυλῶσα, διάφορα

**ABCDGLMOVWZ**

---

**109-110.** πρὸς-ἀπώλειαν] 2 Petr. 3:16 — **111-112.** πρὸς ἑαυτὸν … στασιάζοντα] cf. Greg. Nyss., *Perfect.*, p. 180.5-6; Phot., *Bibl.*, § 11b.17-18, p. 34 — **118-119.** περισσοτέρως-ἀκουσθεῖσι] Heb. 2:1

---

**107.** οἷς] οἵο G — **110.** post εὐθύτητι add. καρδί(ας) ἢ Z — **111.** γεγραμμένον Z — **112.** εὕρησκον D — **115.** καταλλήλων ADGMO — **116.** καὶ] om. G — ἀλλήλοις ἀλλήλους GMW — ἴσους] om. B — **117.** παραρρυῶσι] post cor. (ex παρρυῶσι) V: παρρυῶσι DO: παραρυῶσι BW — **119.** μὴ τὰ] μετὰ A — **121.** διαστρέφειν] διατρέφειν B: περιστρέφειν G — **124.** αὐτὴν et sscr. ῆ (per αὐτῆ) Z — τῆς] sscr. Z

περιτίθησιν αὐτῇ προσωπεῖα καὶ ταύτῃ κατασοφιζομένῃ, τοὺς μὴ προσέχοντας, τῶν ἑαυτῆς ἀρκύων ἐντὸς ὑποσύρει. Ὅθεν οὐδὲ τῶν χρυσίου λαμπροτέρων λόγων τοῦ θείου πατρὸς ἀπέσχετο Χρυσοστόμου· ὁ γὰρ μέγας ἐκεῖνος τῆς οἰκουμένης φωστήρ, τὴν τῶν Ὑδροπαραστατῶν αἵρεσιν, τῆς ἐκκλησίας ἐξοστρακίσαι βουλόμενος, *ἐκ τοῦ γεννήματος* εἶπε *τῆς ἀμπέλου, τὸ κυριακὸν εἶναι ποτήριον· τὴν δὲ ἄμπελον, οἶνον οὐχ' ὕδωρ γεννᾶν.* Ὅπερ τῇ δολερᾷ καὶ κακούργῳ γνώμῃ τῶν Ἀρμενίων, πρόφασις ὑπῆρξε τοῦ μὴ καὶ ὕδωρ τῷ οἴνῳ παρακιρνᾶν, ἐν τῇ πρὸς αὐτῶν ἀναιμάκτῳ τελουμένῃ θυσίᾳ. Ἡμεῖς μὲν οὖν καὶ θαυμασίους τὰς τῶν ἁγίων ῥήσεις ἡγούμεθα, καὶ πάντων οὐχ ἥκιστα, τοῦ μακαρίου Κυρίλλου, καὶ τοῖς λοιποῖς αὐτοῦ συγγράμμασιν ἀτεχνῶς συμβαινούσας· εἰ δ' ὑμεῖς παρὰ τὸ μὴ βούλεσθαι τούτων
M 226[r] ‖ εὐγνωμόνως ἀκούειν, προσπταίετε ταῖς φωναῖς, καὶ πέτρα σκανδάλου ὑμῖν αἴτιοι αὗται γίνονται. Ἀλλ' ἡμεῖς γε, οὐ διαγραψόμεθα ταύτας, ὡς δῆθεν εὐσεβῶς οὐκ ἐχούσας, τὸν ἐντεῦθεν ὑφορώμενοι κίνδυνον, οὐδὲ τοὺς εἰρηκότας ἐξοστρακίσομεν τοῦ τῶν ἁγίων χοροῦ· ἀλλὰ καὶ αὐτοὺς ὡς ἁγίους

**ABCDGLMOVWZ**

---

**130-131.** ἐκ τοῦ-γεννᾶν] Ioh. Chrys., *Matth.* (Hom. 82), § 1, col. 740.10-12; cf. Joseph Patr. CP, *Apologia,* p. 297.2-3

---

**125.**: περιτίθησι Z — αὐτῇ] om. Z: ἑαυτῇ BV — αὐτῇ] ἑαυτῇ post cor. (ex αὐτῇ) C — **126.** ἑαυτῆς] ἑαυτοῖς AGL — **127.** ἀπέσχετο] ἐπέσχετο W — **11.** ante Ὁ γὰρ scr. τοῦ χρυσοστόμου in marg. ABCDLMOV — **131.** εἶναι] εἶπε G — ποτήριον] πρότερον L — οἶνον] οἴνον (?) GO: οἷον L — οὐχ' ὕδωρ BGLW — **131-132.** τῇ δολερᾷ] post cor. (ex τὴ δολερᾷ) L — **132.** ἁρμενίων ACGLMWZ — **133.** οἴνῳ] post cor. (ex οἴκω) L — **134.** μὲν] sscr. et scr. ἡμεῖς μὲν οὖν in marg. G — θαυμασί(ας) Z — **135.** οὐχ' ἥκιστα BG: οὐχήκιστα DLV — **137.** ἀτεχνῶς] om. ACLZ — **138.** πρὸς πταίετε Z — πέτρα] om. ACGLMWZ — **139.** ὑμῖν] ἡμῖν BDMOVW — αἴτιοι] om. BDGMOVW — post γίνονται add. πρόφασις G — **141.** ὑφορώμενοι] ὑφορόμενοι Z: ὑφορώμενον L — **142.** ἐξοστρακίσωμεν BW

καθὰ θέμις τιμῶντες ἐσόμεθα, καὶ προσέξομεν ἐς ἀεὶ ὡς εὐσεβείας καὶ πάντων τῶν καλῶν ἡγεμόσι καὶ διδασκάλοις, καὶ πρὸς τὴν ὀρθότητα τῆς αὐτῶν διανοίας ὁρῶντες, τῷ ἁγίῳ Πνεύματι ὁδηγούμενοι, οὐδὲ τὰς φωνὰς αὐτῶν ἀθετήσομεν. Ὅτι μὴ πᾶσα ἀνάγκη, ὡς ἀνωτέρω μοι δέδεικται, διὰ πάντων τοῖς πατράσι φυλάσσοντες τὸ σεβάσμιον. Ἀλλὰ γὰρ ὅτε καὶ ἑτέρους πατέρας οἱ Λατῖνοι προβάλλονται πρὸς τὸν σκοπὸν αὐτῶν γράψαντας, Αὐγουστῖνον φημὶ καὶ Ἱερώνυμον καὶ ἑτέρους, μακρὸν ἂν εἴη καὶ τὰς φωνὰς ἐκείνων συλλέγειν, καὶ τὰ δοκοῦντα τοῖς τυφλώττουσι σκῶλα καὶ προσκόμματα λύειν καὶ διαρθροῦν. Ἀποχρῶν δὲ τούτοις, ἔστω ἀπόλογος, ὃν ἐν τῇ πρὸς αὐτοὺς διαλέξει ὁ σοφὸς ἐποιήσατο Φώτιος, ὁ καὶ πρῶτος φωράσας τὸ δυσσεβὲς αὐτῶν φρόνημα, τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως τωτηνικαῦτα ἰθύνων, ὡς ἢ νενοθεύκασιν, οἱ πνευματομάχοι τὰς τούτων συγγραφάς, ἢ καὶ ὡς ἄνθρωποι τῆς ἀκριβείας παρεσύρησαν, ὃ πολλοὶ πεπόνθασι τῶν πατέρων ἔν τισιν, ὡς ὁ Ἀλεξανδρείας Διονύσιος, καὶ Μεθόδιος ὁ Πατάρων, καὶ Πάντενος, καὶ Κλήμης ὁ Στρωματεύς, καὶ Πιέριος, καὶ Πάμφιλος, καὶ

**ABCDGLMOVWZ**

---

**143.** ἐς ἀεὶ] ἐσαεὶ CDMV: ἐσαεί BO — **146.** τὰς αὐτῶν φωνὰς per sscr. β′ et α′ G — ἀθετήσωμεν BDOW — **150.** φημὶ] φη(σὶ) B — **151.** ἐκείνων φωνὰς BV — **152.** προσκώματα Z — **153.** ante Ἀποχρῶν scr. φωτ(ίου) in marg. ABCDLMOVW — **155.** post ἐκκλησίαν add. τ(ῆς) A — **156.** τῶ τηνικαῦτα A: τὸ τηνικαῦτα Z — post τωτηνικαῦτα scr. ση(μείωσαι) in marg. A — νενοθεύμασιν A — ἢ πνευματομάχοι MW: et scr. ἴσως οἱ in marg. W — **157.** συγγραφὰς ACDLMWZ: post cor. (ex γραφ(ὰς)) et scr. συγγραφ(ὰς) in marg. G — **158.** ὃ] ὅτι Z — **160.** στρωματεὺς ACGLZ

Θεόγνωστος, καὶ Εἰρηναῖος ὁ Λουγδούνων· τινὰς γὰρ αὐτῶν ῥήσεις, οὐκ ἐδεξάμεθα, καίτοι τ' ἄλλα σφόδρα θαυμάσαντες· ἐῶ γὰρ λέγειν, περὶ Παπίου τοῦ Ἱεραπόλεως, ὃς μαθητὴς ἦν Ἰωάννου τοῦ εὐαγγελιστοῦ, καὶ ἑτέρων, οἳ παρὰ τὸ πρέπον τινὰ
165 συνεγράψαντο. Ἔστωσαν τοίνυν αἱ ἀμφιβαλλόμεναι τῶν ἁγίων χρήσεις, ἐν τόποις ἐν οἷς ἐγράφησαν, καὶ τὸ τῆς πίστεως σύμβολον, ἐχέτω κατὰ παντὸς δικαστηρίου, τὸ κῦρος, ἵνα μὴ εὑρεθῶμεν καὶ αὐτοί, ἄλλα μὲν ἐνώπιον τοῦ Θεοῦ ἐπ' ἐκκλησίας ὁμολογοῦντες, ἕτερα δέ, διϊσχυριζόμενοι συνιστάναι.

**ABCDGLMOVWZ**

---

**162.** τἄλλα BCOV — σφόδρα] sscr. G: om. Z — **164.** εὐαγγελιστοῦ] θεολόγου et scr. ἰω(άννου) εὐαγγελιστοῦ in marg. Z — **165.** αἱ] sscr. Z — **166.** χρήσεις] ῥήσεις AZ — ἐν τόποις ἐν] ἐνόποις ἐν A: ἐν τοῖς τόποις ἐν G — ἐν²] om. Z

**[11]** ***Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος· ἐκ τοῦ ἐμοῦ λήψεται· ἐνεφύσησε καὶ λέγει αὐτοῖς· ἐξαπέστειλεν ὁ Θεὸς το Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με.***

Προβάλλονται πολλάκις, καὶ τὴν παρὰ τοῦ Υἱοῦ ἀποστολήν, καὶ τὴν ἐξ αὐτοῦ λῆψιν, καὶ δόσιν τῷ ἐμφυσήματι, ἔτι δὲ καὶ τὸ λέγεσθαι *Πνεῦμα τοῦ Υἱοῦ*. Ἐκεῖνα τῆς εὐαγγελικῆς καὶ
M 226v δεσποτικῆς θεολογίας χρηματιζούσης οὐτωσί· ‖ *ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν*· καὶ αὖθις· *ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν*· καὶ *ἐνεφύσησε καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα ἅγιον*· τοῦτο τῆς ἀποστολικῆς μεγαλονοίας, φάσκοντος, *ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὰς καρδίας ἡμῶν*. Ταῦτα δὲ πάντα, σχέσεως εἰσὶν ἐμφαντικὰ καὶ οἰκειότητος, οὐκ ἐκπορεύσεως δηλωτικά· ἐντεῦθεν γὰρ ἡ συμφυΐα δείκνυται, καὶ τὸ ὁμότιμον τῶν τριῶν ὑποστάσεων· οὐ γὰρ πᾶν ὃ πέμπει τίς, ἐξ ἐκείνου καὶ τὴν ὕπαρξιν ἔχει, ὅπερ οὐδ' ἂν εἷς εἴποι, καθεστηκὸς ἔχων τὸ λογιζόμενον. Ἀλλ' εἰ καὶ τὸ Πνεῦμα τὴν ὕπαρξιν ἔχειν ἀπὸ τοῦ Υἱοῦ, διὰ τὸ πρὸς αὐτοῦ πέμπεσθαι δώσομεν,

**ABCDGLMOVWZ** (1-26)

---

**[11] 8-11.** ἐξαπέστειλεν-ὑποστάσεων] cf. *Epist.*, p. 31.31-36

---

**[11] Tit.** Ὅταν-Παράκλητος] Ioh. 15:26 — ἐκ-λήψεται] Ioh. 16:14 — ἐνεφύσησε-αὐτοῖς] Ioh. 20:22 — ἐξαπέστειλεν-αὐτοῦ] Gal. 4:6 — Πνεῦμα-με] Luc. 4:18 — **3.** Πνεῦμα-Υἱοῦ] Gal. 4:6 — **3-10.** Ἐκεῖνα-δηλωτικά] cf. Eust. Nic., *Process. Spir. Sanc.* (Orat. 1), pp. 61.24-62.4; 63.14-17 — **4-5.** ὅταν δὲ-ὑμῖν] Ioh. 15:26 — **5-6.** ἐκ τοῦ-ὑμῖν] Ioh. 16:14 — **6-7.** καὶ ἐνεφύσησε-ἅγιον] Ioh. 20:22 — **8-9.** ἐξαπέστειλεν-ἡμῶν] Gal. 4:6

---

**[11] Tit.** scr. ὅταν δὲ ἔλθη ὁ παράκλητος: ἐκ τοῦ ἐμοῦ λήψεται: ἐνεφύσησε κ(αὶ) λέγει αὐτοῖς λάβετε: ἐξαπέστειλεν ὁ θ(εὸ)ς τὸ πν(εῦμ)α τοῦ υ(ἱ)οῦ αὐτ(οῦ): πν(εῦμ)α κ(υρίο)υ ἐπ' ἐμὲ· οὗ εἵνεκεν ἔχρισέ με: in marg. BCDLMOVW — **2.** ἐξ' αὐτοῦ W — ἐμφυσίματι B — **3.** πνεῦμα] παρὰ G — post υἱοῦ add. πέμπεσθαι G — **4.** χρηματιζούσης] post cor. (ex χρηματίζης) W — οὐτωσὶ ACGLV: οὐτωσὶν Z — **7.** ἀποστολικῆς] ἀπολικῆς Z — **8.** ἐξ ἀπέστειλεν W — **9.** οἰκειότητος] οἰκειώσεως (incl. in punc.) et sscr. ότητος per οἰκειότητος W — **9-10.** καὶ-δηλωτικά] om. L — **11.** τριῶν] om. G — post ὑποστάσεων scr. ση(μείωσαι) in marg. G — πᾶν] om. LZ — **12.** τὶς CWZ: τις A — **12-14.** ἔχει-ὕπαρξιν] om. L — ὅπερ-Υἱοῦ] om. et add. εἰ δὲ ἀπὸ τοῦ υἱοῦ ἔχειν τὴν ὑπαρξιν τὸ πν(εῦμ)α τὸ ἅγιον ἔχειν Z — **13.** ἔχων] post cor. (ex ἔχον) C: ἔχον GMW — **14.** δόσωμεν W

οὐχ ἧττον δειχθήσεται, καὶ τὸ Πνεῦμα αἴτιον ὑπάρχειν τοῦ Υἱοῦ παρὰ τοῦτο· πέμπει γὰρ καὶ τὸ Πνεῦμα τὸν Υἱόν, ὡς ἐν τῷ, *Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με*· καὶ αὖθις· *Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ*. Ὥστε εἰ τὰ τῆς ἀποστολῆς ἀντιστρέφει, οὐδὲν ἧττον καθ' ὑμᾶς, καὶ τὰ τῆς αἰτίας καὶ τῆς ὑπάρξεως. Τὸ δὲ *ἐκ τοῦ ἐμοῦ λήψεται*, ἵνα μὴ μείζων αὐτοῦ τὸ Πνεῦμα νομίσωσιν οἱ ἀπόστολοι, μεγάλα περὶ αὐτοῦ εἰρηκότος, *ἐκ τοῦ ἐμοῦ* φησι *λήψεται* κλήρου, τοῦ ἐμοῦ πληρώματος, τῆς ἐμῆς γνώσεως, τοῦ κοινοῦ θελήματος. Καὶ σαφηνίζων τὸν λόγον ἐπήνεγκε· *πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι*· καὶ ἐπειδήπερ ἐμὰ τὰ πατρικά, διατοῦτο *εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν*. Εἰ δὲ καὶ «ἐξ ἐμοῦ» ἦν εἰρηκώς, οὐδ' οὕτως ὑπῆρχεν εὐπρόσωπος τῇ πλάνῃ λαβή· οὐ γὰρ τὸ λαμβάνειν ἀπό τινος οἱασοῦν χρείας χάριν, καὶ τὸ πρὸς οὐσίωσιν ἐκπορεύεσθαι, εἰς ταὐτὸ τῇ διανοίᾳ συνάγεται. Τινὲς δὲ τὸ *ἐκ τοῦ ἐμοῦ*, ἀντὶ «τοῦ ἐμοῦ Πατρός», ἡρμηνεύκασι. *Λάβετε* δὲ *Πνεῦμα ἅγιον* εἰπών, ἓν τῶν τοῦ Πνεύματος χαρισμάτων τούτοις ἐδεδώκει, τὴν τοῦ λύειν φημὶ καὶ

**ABCDGLMOVWZ** (1-27)

---

**32-33.** τοῦ λύειν-ἐξουσίαν] cf. *Epist.*, p. 4.3-4

---

**17-18.** Πνεῦμα-ἀπέσταλκέ με] Is. 61:1 cf. Luc. 4:18 — **18-19.** Κύριος-αὐτοῦ] Is. 48:16 — **20-21** et **22-23.** ἐκ-λήψεται] Ioh. 16:14 — **24-25.** πάντα-ἐστι] Ioh. 16:15 — **24-30.** Καὶ σαφηνίζων-συνάγεται] cf. Eust. Nic., *Process. Spir. Sanc.* (Orat. 1), p. 64.1-11 — **26.** εἶπον -ὑμῖν] Ioh. 16:14 — **31.** Λάβετε-ἅγιον] Ioh. 20:22 — **32-33.** τοῦ-ἐξουσίαν] cf. Matth. 16: 19, 18:18

---

**16.** γὰρ] δὲ G: οὖν Z — **18.** κύριος] θ(εό)ς G — **19.** ὥστε] ὡς τε AL — ἀποστολ(.)ῆς lac. V — **20.** ἧττον B — **21.** μεῖζον ACLZ — **22.** μεγάλα] μεγάλου A — φησὶ BDZ — **23-24.** τῆς ἐμῆς-θελήματος] om. LZ — **25.** ἐμά] post cor. (ex ἐμὰ) Z: ἐμὰ W — ἐμὰ²] ἐμά A — **26.** ὅτι] om. AL — **27.** ἐξ' ἐμοῦ W — εὐπρόσωπος ὑπῆρχε AL — **28.** λαβὴ ACGL — ἀπὸ τινὸς M — **28-29.** χάριν χρεί(ας) G — **30.** ἀντὶ τοῦ ἐμοῦ] om. B — **31.** δὲ] om. W — **32.** τούτοις] τούτοι et sscr. σ (per τούτοις) W — ἐδεδόκει et sscr. ω (per ἐδεδώκει) D: ἐδώκει et δε sscr. (per ἐδεδώκει) L

δεσμεῖν ἐξουσίαν· πνεύματα γὰρ καὶ ταῦτα τῇ γραφῇ καλεῖν φίλον, καὶ ἵνα δείξῃ κοινὰς εἶναι τῇ Τριάδι τὰς δωρεάς. Ἄλλως τε, καὶ τῆς Πεντηκοστῆς μηδέπω ἐφεστηκυΐας, οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον οὐσιωδῶς ὡς ἄν τις εἴποι τοῖς ἀποστόλοις ἐπιδεδημηκὸς ἦν· εἰς τεσσαρακοστὴν γὰρ ἡμέραν μετὰ τὴν ἀνάστασιν
M 227r ἐπήγγελται τούτοις, τὴν ἐξ ὕψους *λήψεσθαι* ‖ *δύναμιν*, ἐναργῶς καταπταμένου τοῦ Πνεύματος.

**ABCDGLMOVWZ** (1-27)

---

**37-38.** εἰς τεσσαρακοστὴν-τούτοις] cf. Act. 1:3-4 — **38.** λήψεσθαι δύναμιν] Act. 1:8 — **38-39.** ἐναργῶς-Πνεύματος] cf. Act. 2:3

---

**35.** μὴ δέ πω BO — **36.** ἐπιδεδημικὸς L — **39.** κατὰ πταμένου B

**[12]** ***Τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.***

Ὁ δὲ μέγας Παῦλος, *τὸ Πνεῦμα* εἰπὼν *τοῦ Υἱοῦ αὐτοῦ*, τὴν ὁμοφυΐαν αὐτῶν, καὶ οὗτος ἐδήλωσεν· οὐ γὰρ τὸ λεγόμενον εἶναί τινος, ἤδη καὶ παρ' αὐτοῦ γεγέννηται, ἢ προβέβληται. Καὶ ὁ Πατὴρ γὰρ τοῦ Υἱοῦ, παρὰ πᾶσι τεθεολόγηται, ἀλλ' οὐ διατοῦτο καὶ γέννησιν αὐτῷ ἀναστρέψομεν. Καὶ *Πνεῦμα σοφίας* λέγεται, καὶ Πνεῦμα *συνέσεως*, ἀλλ' οὐκ ἐκ τῶν χαρισμάτων αὐτοῦ, τὸ πανάγιον πρόεισι Πνεῦμα. Οὐκ εἴρηται δὲ ὁ Υἱὸς τοῦ Πνεύματος, ἵνα μὴ νομισθῇ τὸ Πνεῦμα Πατήρ, διὰ τὴν ἐπεισαγομένην σχέσιν τῶν *πρός τι*. Ἐπεί τοι γε καὶ τοῦτο καθ' ἑτέραν προσηγορίαν ἔσθ' ὅπῃ λέλεκται, τὴν δυναμένην ταῖς ὑπερουσίοις ὑποστάσεσι, τὸ ἀσύγχυτον καλῶς τῶν ἰδιωμάτων τηρῆσαι —φησὶ γὰρ ὁ Ἀπόστολος, *καὶ τὴν μάχαιραν τοῦ Πνεύματος ὅ ἐστι ῥῆμα Θεοῦ*—, *Πνεῦμα δὲ* λέγεσθαι *τοῦ Υἱοῦ*, οὐδεὶς ὁ κωλύων λόγος, κἂν μὴ ἐξ αὐτοῦ τὴν ὕπαρξιν ἔχῃ.

**ABCDGLMOVW**

---

**[12] 3-9** Καὶ ὁ-πρός τι] cf. *Epist.*, p. 32.8-21

---

**[12] Tit.** Τὴν-Θεοῦ] Eph. 6:17 — **1.** τὸ-αὐτοῦ] Gal. 4:6 — **5-6.** Πνεῦμα-συνέσεως] Exod. 31:3, 35:31; Is. 11:2 — **9.** πρός τι] vide supra § **5**.22 — **12** καὶ τὴν-Θεοῦ] Eph. 6:17 — **13.** Πνεῦμα-Υἱοῦ] Gal. 4:6

---

**[12] Tit.** scr. τὴν μάχαιραν τοῦ πν(εύματο)ς ὅ ἐστι ῥῆμα θ(εο)ῦ: in marg. CDLMOVW — **4.** διὰ τοῦτο GL — **9-10.** λέγεται ἔσθ' ὅπη G — **10.** ὑπερουσίαις ABL — ὑποστάσεσιν B — **11.** ἀσύγχητον A — **12.** ἐστι] εσθι B — **13.** post κωλύων add. ὁ B — **13-14.** ἐξ' αὐτοῦ W: ὑπ' αὐτοῦ et sscr. ἐξ (per ἐξ αὐτοῦ) C — **14.** ἔχει L

**[13]** ***Τεθέαμαι τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον.***

Ἐκεῖνο δὲ πῶς νοεῖς, τὸ βαπτιζομένου τοῦ Ἰησοῦ, φάναι τὸν Ἰωάννην, ὅτι *τεθέαμαι τὸ Πνεῦμα, καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτὸν*· εἰ μὴ γὰρ ἐκ τοῦ Πατρὸς φαίης μόνου προβεβλῆσθαι τὸ Πνεῦμα, ἀλλ' ἄρα καὶ ἐξ Υἱοῦ, ἁλώσῃ τὸν ἕνα Χριστόν, διαιρῶν εἰς δύο κατὰ Νεστόριον, ἵν' ἐκ τοῦ Υἱοῦ τοῦ Θεοῦ εἴπῃς καταβαῖνον τὸ Πνεῦμα, *ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου*. Ἀλλὰ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα ἐν τῷ Υἱῷ μένειν καὶ ἀναπαύεσθαι, τὸ τῆς οἰκονομίας διδάσκει μυστήριον.

**ABCDGLMOVW**

---

**[13] 1-7.** Ἐκεῖνο-ἀνθρώπου] cf. *Epist.*, p. 30.27-36 — **7-8.** Ἀλλὰ-μυστήριον] cf. *Epist.*, p. 30.18-20

---

**[13] Tit.** Τεθέαμαι-καταβαῖνον] Ioh. 1:32 — **1-8.** Ἐκεῖνο-μυστήριον**]** cf. Eust. Nic., *Process. Spir. Sanc.* (Orat. 2), pp. 77.16-78.3 — **2-3.** ὅτι-αὐτὸν] Ioh. 1:32 — **6.** καταβαῖνον τὸ Πνεῦμα] cf. Ioh. 1:32 — ἐπὶ-ἀνθρώπου] Ioh. 1:52 — **7-8.** τὸ ἐκ-ἀναπαύεσθαι] cf. Epictetus, *Dissert. Arrian.*, § 14.4.12, p. 50; Georg. Schol., *Process. Spir. Sanc.* (Tract. III), p. 476.14-15

---

**[13] Tit.** scr. τεθέαμαι τὸ πν(εῦμ)α τοῦ θ(εο)ῦ καταβαῖνον: in marg. CDMOVW — **1.** φᾶναι D — **4.** ἀλλ' ἄρα W — **5.** νεστορ(ίου) D — ἵν ἐκ B — τοῦ] om. L — **7.** post πατρὸς scr. et cnc. (incl. in punc.) ἐκ τοῦ π(ατ)ρ(ὸ)ς W — **8.** post μυστήριον add. τὸ γὰρ ἅπαξ τῷ βαπτιστῇ θεαθέν, τοῦ ἀεὶ ὄντος φανέρωσις γέγονεν· οὐ γὰρ ἦνποτε (ἦν ποτέ BV) χωρίς πνεύματος ὁ υἱός BDOV

**[14] Ὅτι οὐκ ἔστιν ἡ ἐκπόρευσις τοῦ ἁγίου Πνεύματος, νόησις ἢ θέλησις.**

Ἀλλ' οἱ τὴν *βασιλικὴν καὶ λείαν ὁδὸν* ῥᾳδίως βαίνειν μὴ ἀνεχόμενοι, εἰς ἀνοδίας πάντως ἐκτρέπονται καὶ κρημνούς, καὶ τόπους οὓς οὐκ ἐπισκοπεῖ Κύριος. Ὡς δὲ, καὶ οὗτοι, περὶ ὧν ὁ λόγος, οἷα παραφρονοῦντες καὶ παραπαίοντες ἀτεχνῶς, τῇ καὶ τῇ φέρονται, τὴν μόνην καὶ ἁπλανῆ τῆς ἀληθείας ὁδόν, *αὐθεκάστῳ γνώμῃ* καταλιπόντες ἐρρῶσθαι. Ταῦτά τοι καὶ ἐφ' ἑτέρας τῶν πρώην ἀτοπωτέρας ἐννοίας ἐξάγονται· καὶ *φασί, νοητικῶς τὸν Υἱὸν τοῦ Θεοῦ γεννᾶσθαι, τὸ δὲ Πνεῦμα τὸ ἅγιον, θελητικῶς ἐκπορεύεσθαι· προεπινοεῖται δὲ νόησις θελήσεως*, ὥσπερ καὶ ἐπὶ τοῦ *κατ' εἰκόνα Θεοῦ* γεγονότος ἀνθρώπου. Εἰ τοίνυν *ἡ τοῦ Υἱοῦ προεπινοεῖται γέννησις, ἅτε νοητικῶς γινομένη*, ἡ δέ γε τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις, κατὰ τρόπον ἐστὶ θελήσεως, καὶ οἷον θέλησις, *ἴσος δὲ ὁ Υἱὸς τῷ Πατρί, καὶ τὸ αὐτὸ θέλημα ἔχων αὐτῷ*, ὧν ἡ θέλησις μία, καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις μία. *Εἰσὶ*
M 227v *δὲ ταῦτα*, προφανῶς *διανοίας ἀνα-‖πλάσματα* κακοδαίμονος. Ποῖα

**ABCDGLMOVWZ**

---

**[14] 7-15.** φασί-ἀναπλάσματα] Man. Mosch., *Generat.*, eds. Polemis p. 255.1-3, 6-8 et 10; Smith, p. 1.1-3, 8-10 et 12 — **15-17.** Ποῖα-ἐδίδαξεν] cf. loc. cit., eds. Polemis, p. 255.10-12; Smith, p. 1.12-14

---

**[14] 1.** βασιλικὴν-ὁδὸν] cf. Orig., *Psalm.*, p. 258.15-17; Greg. Nyss., *Vita Mosis*, § 72.4, p. 100 — **5-6.** αὐθεκάστῳ γνώμῃ] cf. Lazar. monach., *Epist.* 1, p. 544.5

---

**[14] Tit.** scr. ὅτι οὐκ ἔστιν ἐκπόρευσις τοῦ ἁγίου πν(εύματο)ς νόησις ἢ θέλησις: in marg. BDGMOVW — **1.** ante Ἀλλ' οἱ sign. in marg. B — **4.** τῇ] om. A — **6.** ταῦτα τοι BCDGMOVW — post ἑτέρας add. ἐννοί(ας) G — **7.** ἐννοίας] om. G — ἀτοποτέρας GW — φασῖν L — **8.** γενᾶσθαι W — **9.** δὲ νόησις] om. et add. γέννησις B — **11.** γένησις W — γινομένη] post cor. (ex γενομένη) D: γενομένη G — **12-14.** κατὰ-ἐκπόρευσις] om. A

γὰρ γραφή, ποῖον εὐαγγέλιον ἕτερον παρὸ παρελάβομεν, ταῦτα ἐδίδαξεν; Ἢ τίς τῶν θεωρητικῶν τε καὶ θεολόγων καὶ διαβατικώτατον νοῦν ἐσχηκότων, ἢ πολυπραγμονέστατον, εἰς τοσοῦτον ἦλθε θράσους καὶ ἀπονοίας, ὥστε καὶ τρόπους ἀνιχνεύειν γεννήσεως, ἢ ἐκπορεύσεως; Ἀλλ' οὐ πρὸ πάσης ἄλλης θεολογίας, πᾶς τις αὐτῶν, ἄρρητον πάντῃ καὶ ἀνεπινόητον, τὸν τρόπον τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως ἀνεκήρυξε, καὶ *σιωπῇ τιμᾶσθαι* ταῦτα ἐπέταξε, *μέγα* καὶ *τὸ* ὅλως *μαθεῖν* οἰόμενος, *ὅτι* τὸ μὲν, *γεγέννηται*, τὸ δ' ἐκπεπόρευται, *τὸ γὰρ πῶς*, *οὐδὲ ἀγγέλοις ἐννοεῖν* δέδοται· ἢ πῶς οἷόν τε τὰ ὑπὲρ φύσιν μετρεῖν, τῇ μεταβατικῶς νοήσει καὶ ἀγνοίᾳ καὶ λήθῃ συνεζευγμένη φύσει; Θέλησιν γὰρ τὴν ἐκπόρευσιν, ἢ κατὰ τρόπον νοεῖσθαι θελήσεως, οὐδεὶς οὐδέπω καὶ νῦν ἡμᾶς ἀνεδίδαξεν. Ἀλλ' οὐδὲν οἶμαι τοῦτο διενήνοχε τοῦ αἱρετικοῦ ἐκείνου προβλήματος, *ὅτι θέλων ἐγέννησεν ὁ Πατήρ, ἢ μὴ θέλων*, ὅπερ ὁ ἀκριβὴς πάσης θεολογίας γνώμων, ὡς λῆρον σαφῆ διαπαίζει, καὶ ὡς μὴ δὲ αὔραίς τισιν ἱστάμενον διελέγχει.

**ABCDGLMOVWZ**

---

**30-31.** ὅτι-μὴ θέλων] Man. Mosch., *Generat.*, eds. Polemis, p. 256.27-28; Smith, p. 2.14-15

---

**23.** σιωπῇ τιμᾶσθαι] cf. Ps.-Basil. Caes., *Generat.*, col. 1457.31-34 — **23-25.** σιωπῇ-ἐννοεῖν] Greg. Naz., *De filio*, 3 § 8.20-26, p. 140 : … Θεοῦ γέννησις, σιωπῇ τιμάσθω· μέγα σοι τὸ μαθεῖν, ὅτι γεγέννηται· τὸ δὲ πῶς, οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γέ σοι νοεῖν συγχωρήσομεν· βούλει παραστήσω τὸ πῶς; ὡς οἶδεν ὁ γεννήσας Πατὴρ, καὶ ὁ γεννηθεὶς Υἱός· τὸ δὲ ὑπὲρ ταῦτα νέφει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν. — cf. Greg. Naz., *Spir. Sanc.*, 5 § 8.14-20, p. 232 : … εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ Πατρός, κἀγὼ τὴν γέννησιν τοῦ Υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ παραπληκτίσομεν ἄμφω εἰς Θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα τίνες; οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μὴ ὅτι γε Θεοῦ βάθεσιν ἐμβατεύειν, καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀρρήτου καὶ ὑπὲρ λόγον φύσεως. — **30-31.** ὅτι-μὴ θέλων] Ps.-Ioh. Chrys., *Trinit.*, § 3, col. 1093.58-63

---

**16.** γραφή] post cor. (ex γραφῆ) G: γραφὴ ACDLMVW — **17.** τε] om. ACL — **19.** ἦλθε] ἦκε BDGMV: ἧκε OW — **20-21.** θεολογίας ἄλλης G — **24.** γεγένηται W — ἐκπόρευεται V — **26.** νοήσει] post cor. (ex νοούση) C: νοούση BDGMOVW — καὶ λήθη] om. ACL — **30.** ἐγένησεν W — **31.** ὡς] ὠ DO — **32.** αὔραις τισὶν G — δι ἐλέγχει B

**[15] Ὅτι οὐ λέγεται τὸ Πνεῦμα ἰδίως ἀγάπη.**

Ἀλλὰ καὶ ἕτερον *λέγουσι* τῶν εἰρημένων εἰς ἀτοπίαν οὐκ ἔλαττον. *Ἀγάπη τὸ Πνεῦμα λέγεται, καὶ τοῦτο αὐτοῦ ἐστιν ἰδιαίτατον· ἐνέργεια δὲ πάντως ἡ ἀγάπη τοῦ ἀγαπῶντος*, ὥσπερ οὖν ὁ Πατὴρ τὴν ἀγάπην προτείνει, οὕτω δὴ καὶ ὁ Υἱός, τῆς αὐτῆς ὢν αὐτῷ φύσεως· *ὁ Πατὴρ ἄρα καὶ ὁ Υἱός, ἐκπορεύει τὸ Πνεῦμα.* Ὅτι δὲ τῶν ἐκ κοιλίας φωνούντων καὶ ταῦτα, καὶ οὐ τῶν θησαυρῶν τοῦ εὐαγγελίου, δῆλον, οἷς καὶ κατὰ μικρὸν τῶν ὀρθῶν δογμάτων ἐμέλησε· τὸν *Θεὸν* γὰρ *ἀγάπην* ἐκάλεσεν ὁ υἱὸς τῆς βροντῆς, καὶ ταύτην κοινῇ τῇ Τριάδι τὴν κλῆσιν ἀπένειμε, καὶ οὐκ ἰδίᾳ τῷ Πνεύματι. Πρὸς δέ, καὶ ὁ παντὸς μᾶλλον κατ' ἴχνος τῆς αὐτοῦ θεολογίας βαδίσας Γρηγόριος, *ὁ Θεὸς αὐτὸς* εἶπεν *ἀγάπη καλεῖται·* καὶ τῇ *προσωνυμία* ταύτῃ, *πρὸ τῶν ἄλλων χαίρει καλούμενος·* καὶ ὁ μέγας Παῦλος, μετὰ τὸ εἰπεῖν, *ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς*, τὴν *κοινωνίαν* ἐπιφέρει *τοῦ Πνεύματος*, καὶ οὐχὶ τῇ ἀγάπῃ, τὸ Πνεῦμα περιέγραψεν, ἄλλης οὔσης τῆς ἀγάπης τοῦ Πατρός, κατὰ περίφρασιν τὸν Πατέρα δηλούσης, καὶ ἄλλου τοῦ

**ABCDGLMOVWZ**

---

**[15] 1-5.** λέγουσι-Πνεῦμα] cf. Thomas Aquin., *Sum. theol*. Ia. 37, 1-2; Man. Mosch., *Generat.*, eds. Polemis, p. 257.54-58; Smith, p. 4.7-10

---

**8.** Θεὸν-ἀγάπην] 1 Joh 4:8 — υἱὸς-βροντῆς] scil. Iohannes Evagelista; cf. Marc. 3:17 — **11-12.** ὁ Θεὸς-καλεῖται] Greg. Naz., *Paup.*, § 2, col. 860.28 — **11-13.** ὁ Θεὸς … προσωνυμία-καλούμενος] Greg. Naz., *Pace* 1, § 12, col. 737.33-35 — **13-14.** ἡ ἀγάπη-Πνεύματος] 2 Cor. 13:14

---

**[15] Tit.** scr. ὅτι οὐ λέγεται τὸ πν(εῦμ)α ἰδίως ἀγάπη: in marg. CDGMVW: scr. in textu A — **1.** ante Ἀλλὰ sign. scr. in marg. M — **2.** τοῦτο] τοῦ B — ἐστὶν Z — **3.** ἀγαπόντος et sscr. ῶ (per ἀγαπῶντος) Z: — **6.** καὶ ταῦτα] om. D — **7.** καταμικρὸν BZ — **11.** ante Ὁ θ(ε)ὸς scr. Γρηγορ(ίου) τοῦ θεολόγ(ου) in marg. G — **14.** ἐπὶ φέρει B — **16.** δηλούσ(ις) B — ἄλλου] ἄλλη AG

Πνεύματος. Εἰ καὶ μὴ ἄλλο καὶ ἄλλο, ἀτοπώτερον δὲ τὸ θελήσει λέγειν ἐοικέναι τὴν θείαν ἐκπόρευσιν, ἢ ἀγάπην τὸ ἅγιον ‖
M 227r Πνεῦμα προσαγορεύειν, ὡς ἐν σχέσει μόνῃ, νοεῖσθαι ψιλῇ καὶ
20 κατὰ συμβεβηκός, ἀλλὰ μὴ ἐν οὐσίᾳ καὶ ὑποστάσει, καὶ πολλῷ δυσσεβέστερον, ἢ καὶ ἐκ τοῦ Υἱοῦ λέγειν ἁπλῶς ἐκπορεύεσθαι· οὔτε γὰρ συμβέβηκέ τι τῇ θείᾳ οὐσίᾳ, οὔτε δηλωτικὸν αὐτῆς ἐστιν ὄνομα. Ὅπως γε μὴν καὶ συλλογιστικῶς οἱ τῆς εὐσεβείας τρόφιμοι τούτοις συμπλέκονται, οὐ δέον παραλιπεῖν συνελόντας
25 εἰς δύναμιν.

**ABCDGLMOVWZ**

---

**19.** ψιλὴ B — **20.** κατασυμβεβηκὸς BL — **20.** ἐν οὐσία] ἐνουσία B — **22.** οὔτε] οὕτω L — οὔτε²] post cor. (ex οὐ τὲ) D — **23.** ἐστὶν BG: ἔστιν Z — ante Ὅπως scr. in marg. συλλογισμοὶ ACDGLMOVW

**[16] Πρὸς τοὺς προβαλλομένους τὸ, *ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*.**

Εἰ γὰρ ὅτι ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρί, καὶ ἐξ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι, πᾶσαν εἶναι ἀνάγκην, οἱ τοῦ εἰκότος ἀσυλλόγιστοι συλλογίζονται, πᾶσα ἀνάγκη καὶ τὸ ἅγιον Πνεῦμα, ὁμοούσιον αὐτοῖς πιστευόμενον, ἢ ἕτερον ὁμοούσιον ἑαυτῷ προΐεσθαι Πνεῦμα· καὶ λοιπὸν, αἴτιον ἔσται ἅμα καὶ αἰτιατόν —ὃ καὶ τῆς τῶν Ἑλλήνων μυθολογίας τερατωδέστερον—, ἢ καὶ αὐτὸ ἀντιστρόφως τὸν Υἱὸν γεννᾶν· ὁμοτίμως γὰρ ἄμφω προήγαγεν ὁ Πατὴρ καὶ προβολεύς, ἵνα μὴ οὐχ ὁμοδύναμον τιθέμενον τοῖς προβάλλουσι, τὸ ἔλαττον κατὰ τὴν οὐσίαν ἀπενέγκηται. Κἀντεῦθεν ἡ Μακεδονίου *λύσσα παρρησιάσηται· εἰ γὰρ τὸν Πατέρα αἴτιον* εἶναι φασὶ *τοῦ ἁγίου Πνεύματος, οὐ τῷ λόγῳ τῆς ὑποστάσεως, τῷ δὲ λόγῳ τῆς φύσεως·* κἀκ *τούτου καὶ τὸν Υἱόν, αἴτιον τοῦ Πνεύματος ἀποφαίνονται. Οὐ συνορῶσιν ὅσον τὸ ἐντεῦθεν ἑπόμενον ἄτοπον· δεῖ γὰρ πρῶτον μὲν καὶ αὐτὸ τὸ Πνεῦμα, αἴτιον τινὸς εἶναι* ὡς εἴρηται, *τὸν αὐτὸν τῷ Πατρὶ τῆς φύσεως δεχόμενον λόγον. Δεύτερον δέ, καὶ εἰς πλῆθος* ἀνάγκη *προχωρεῖν τὰς αἰτίας· ὅσαι γὰρ τῆς φύσεως μετέχουσιν ὑποστάσεις, καὶ τῆς αἰτίας*

**ABCDGLMOVWZ**

---

**[16] 10-13.** τὸν Πατέρα-ἀποφαίνονται] Greg. Cypr., *Tomus*, col. 241.54-58 — **13-20.** Οὐ συνορῶσιν-φύσις] loc. cit., col. 241.59-242.8

---

**[16] Tit.** ἐγὼ-ἐσμεν] Ioh. 10:30

---

**[16] Tit.** scr. πρὸς τοὺς προβαλομένους, τὸ ἐγώ καὶ ὁ π(ατὴ)ρ ἕν ἐσμὲν in marg. CDGLMOW — **2.** εἰκότως LZ: οἰκότος B — **3.** πν(εῦμ)α ἅγιον DOV — **4.** ἑαυτὸ et sscr. ῶ (per ἑαυτῶ) Z — **5.** post αἰτιατὸν scr. in marg. ἐγὼ κ(αὶ) ὁ πατ(ὴρ) ἕν ἐσμ(ὲν) τῇ φύσει· οὐ τῇ υποστάσει B — τῶν] sscr. B — **6.** ἑλλήνων] post cor. (ex ἐλλήνων) Z — **7.** γενᾶν W — **9.** κἀντεῦθεν] κἂν τεῦθεν G — **16.** δεύτερον in ras. et scr. in marg. ερ W — **17.** ὑποστάσης L — καὶ] om. W

μεθέξουσι. Καὶ τρίτον, τὴν κοινὴν οὐσίαν καὶ φύσιν, ὑποστάσεως αἰτίαν εἶναι, ὅπερ, ἅπας ἀπηγόρευσε λόγος, καὶ αὐτή γε μετὰ τοῦ λόγου ἡ φύσις· οὐ γάρ ἐστιν ἡ κοινὴ οὐσία καὶ φύσις, ὑποστάσεως αἰτία, ἐπεὶ οὐδὲ γεννητική ποτε, οὐδὲ προβλητικὴ τῶν ἀτόμων πέφυκεν αὕτη. Ἡ δὲ μετ' ἰδιωμάτων οὐσία, ἥτις σαφῶς κατὰ τὸν ἅγιον Μάξιμον, αὐτὴν δηλοῖ τὴν ὑπόστασιν· καὶ κατ' αὐτὸν δὴ τὸν μέγαν Βασίλειον· κἀκεῖνος γὰρ ὑπόστασιν ὁρίζεται εἶναι, τὴν τὸ κοινόν τε καὶ ἀπερίγραπτον, ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστᾶσαν καὶ περιγράφουσαν· αὕτη γὰρ φησι τῶν ἰδιωμάτων ἡ φύσις, ἐν τῇ τῆς οὐσίας ταυτότητι, δεικνύναι τὴν ἑτερότητα· διατοῦτο καὶ τὸ τῆς οὐσίας ἄτομον, ἀεὶ
M 227v προβάλλεται ἄτομον, ἢ γεννᾶ ‖ ὁμοούσιον ἑαυτῷ· Πατρὸς δὲ καὶ Υἱοῦ, εἰ καὶ οὐσία μία· ἀλλ' οὐ παρὰ τοῦτο ἓν ἄτομον τὰ ἀμφότερα. Κοινὰ τῶν ὑπερουσίων τριῶν ὑποστάσεων, ἡ οὐσία, ἡ φύσις, ἡ δύναμις, ἡ ἐνέργεια, ἡ βούλησις, ἡ θεότης καὶ τὰ τοιαῦτα· ἴδια δέ, τὸ ἀγέννητον, τὸ γεννητόν, καὶ τὸ ἐκπορευτόν· εἰ οὖν ἰδιότης ἡ ἐκπόρευσις, ὥσπερ καὶ τὸ ἀγέννητον καὶ ἡ γέννησις, εὑρεθήσεται τὸ πανάγιον Πνεῦμα δύο κεκτημένον ἰδιότητας· μίαν μέν, τὴν ἐκ τοῦ Πατρὸς ἐκπόρευσιν· δευτέραν δέ, τὴν ἐκ τοῦ Υἱοῦ·

**ABCDGLMOVWZ**

---

**20-26.** οὐ γάρ-περιγράφουσαν] Greg. Cypr., *Tomus,* col. 241.22-30 — **28-29.** διατοῦτο-ἄτομον] loc. cit., col. 241.30-32 — **29-30.** Πατρὸς-μία] loc. cit., col. 241.33-34

---

**22-23.** Ἡ δὲ-ὑπόστασιν] cf. Maxim. Conf., *Epist.* col. 436.2-11 — **26-28.** αὕτη-ἑτερότητα] Basil. Caes., *Adv. Eunom.,* II, col. 637.33-34 — **28-30.** cf. Ioh. Damasc., *Exp. fidei*, § 55.19, p. 131

---

**20.** γάρ] post cor. (ex γὰρ) L — **21.** ἐπεὶ bis. acc. W — **22.** ante ἡ δὲ scr. τί ἐστιν ὑπόστασις in marg. Z — τὸν] τὸ et ν sscr. (per τὸν) D — **23.** καταυτὸν L — **24.** ante Κἀκεῖνος scr. τί ἐστιν ὑπόστασις in marg. ACDLMOW: scr. ὅρος ὑποστάσεως in marg. G — **26.** παριστῶσαν LZ — **28.** δεικνῦναι CGLW — διὰ τοῦτο L — **29.** γενᾶ W — δὲ καὶ om. et add. υἱοῦ B — **30.** παρατοῦτο AM — ἄτομον G — **33.** ἰδία L — ἀγένητον W — γενητὸν W — **34.** ἀγένητον W — γένησις W

καὶ ὁ μὲν Υἱός, μιᾷ διασταλήσεται τοῦ Πατρός, τοῦτο δέ, δυσί· κἀντεῦθεν, ἔλαττον ἔσται τοῦ Υἱοῦ. Εἰ δὲ συνάναρχον ὑμνεῖται τὸ Πνεῦμα, Πατρὶ καὶ Υἱῷ, ἐκπορεύει δὲ τοῦτο καὶ ὁ Υἱός, ἐν ᾧ γεννᾶται ὁ Υἱός, ἐπίσης ἂν εἴη τὸ Πνεῦμα καὶ συγγενώμενον τῷ Υἱῷ, καὶ ἐκπορευόμενον ἐξ αὐτοῦ. Ὥστε καὶ γεννητὸν ἔσται καὶ ἐκπορευτὸν, οὗ τί ἂν φωραθείη πρὸς ἀσέβειαν χαλεπώτερον! Ὅπερ δὲ ἴδιον μόνῳ τῷ Πατρὶ τὸ προβάλεσθαι, εἰ κοινὸν ἔσται καὶ τῷ Υἱῷ, πάντως ἂν καὶ τὸ ἴδιον τοῦ Υἱοῦ, κοινὸν εἴη καὶ τῷ Πατρί· καὶ λοιπὸν ὁ ἀγέννητος Πατήρ, ἔσται καὶ γεννητός. Πρὸς οὖν δύο ἀρχὰς ἀναγομένου τοῦ Πνεύματος, ποῦ τῆς μοναρχίας τὸ πολυΰμνητον; Πολυαρχία γὰρ ἐντεῦθεν, ἑλληνικὴ παρεισδύεται. Εἰ δὲ ὁ Υἱὸς τῆς πατρικῆς ἁπλότητος οὐκ ἐξίσταται, τὸ δὲ Πνεῦμα πρὸς δύο τὰ αἴτια τὴν ἀναφορὰν ἔχει, διπλοῦν ἂν εἴη τοῦτο καὶ σύνθετον· οὐδὲν γὰρ κυρίως ἁπλοῦν ἐκ δυοῖν. Καὶ ποῦ τὸ τῆς Τριάδος ἁπλοῦν καὶ ὁμότιμον; Εἰ δὲ ἁπλοῦν τὸ Πνεῦμα φήσαιεν, ὥσπερ δὴ καὶ ἔστιν, ἐκ τοῦ Πατρὸς δὲ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, ἓν ἂν οὗτοι νομισθεῖεν πρόσωπον, καὶ ἡ τοῦ Σαβελλίου εἰσαχθήσεται συναλοιφή· ἐκείνως μὲν γὰρ, *τὸ διττὸν τῆς αἰτίας συνάγεται*, οὕτως δὲ, *τὸ ἑνιαῖον μέν, τόν γε μὴν Υἱόν, τῷ Πατρὶ*

**ABCDGLMOVWZ**

---

**54-56.** τὸ διττὸν-λόγον] Greg. Cypr., *Tomus*, col. 240.54-56

---

**37.** μὶα L — **40.** ἐπίσ(ις) B — συγγενόμενον Z — **41.** ἐξ' αὐτοῦ GW — γενητὸν W — **45.** ἀγένητος W — γενητός W — **46.** ποῦ] τοῦ AL — **47.** γὰρ] om. A — **49.** τοῦτο] om. DZ — **50.** post σύνθετον scr. τοῦτο Z — post ἁπλοῦν scr. et del. ἐκ δυσῖν dittography L — **50-51.** ἐκ δυοῖν-ἁπλοῦν] om. Z — **51.** Εἰ] Οἱ G — post Εἰ δὲ add. καὶ D — **52.** ἐκ] om. BDGMOV — **53.** ἓν ἂν] ἑὰν B — νομισθοῖεν Z — **54.** συναληφή B — **55.** post μὴν add. τὸν Z — τῷ πατρὶ] om. Z

κατ᾽ αὐτὸν δὴ τοῦτον τὸν τῆς αἰτίας λόγον, ἀνάγκη συνάπτεσθαι· ἃ δὴ καὶ ἄμφω, *πάσης βλασφημίας ἐπέκεινα· οὐ γάρ ἐστιν ἐν τῇ Τριάδι, ἑτέρα τίς παρὰ τὴν τοῦ Πατρός, ὑπόστασις, ἐξ ἧς ἂν εἴη τοῖς ὁμοουσίοις ὕπαρξις καὶ οὐσίωσις· κατά τε τὴν κοινὴν τῆς* 60 *ἐκκλησίας δόξαν, καὶ τοὺς εἰπόντας ἁγίους, ῥίζα καὶ πηγή, Υἱοῦ καὶ Πνεύματος ὁ Πατήρ*· καὶ *μόνη πηγὴ τῆς θεότητος, ὁ Πατήρ*· καὶ *μόνος αἴτιος* ὁ Πατήρ. Εἴπερ δὲ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τοῦ ἁγίου Πνεύματος ἐντελής, περιττὴ ἄρα ἡ ἐκ τοῦ Υἱοῦ. Ὃ δὲ μὴ
M 229r ἔστι ‖ κοινὸν τοῖς τρισίν, ἑνός ἐστι μόνου. Τὸ δὲ τῆς προβολῆς, οὐκ 65 ἔστι κοινὸν τοῖς τρισίν· ἑνός ἐστιν ἄρα μόνου· καὶ μάταιος ὁ λόγος τῶν ἀμφισβητούντων, καὶ μή μοι τὸ αἰτιατὸν ἀνθυπενέγκης, ταῖς δυσὶ τῶν θεαρχικῶν ἀφιερούμενον ὑποστάσεων. Καὶ γὰρ καὶ τοῦτο, διάφορον δείκνυσι, τὸ τῆς προόδου διάφορον. Εἰ δὲ καὶ τὴν αὐτὴν προβολήν, ὁ Υἱὸς ἔχει τῷ Πατρὶ, κοινὴ τούτοις ἡ τῆς 70 προβολῆς ἰδιότης. Εἰ δὲ τὴν ἐναντίαν, πῶς οὐ φθείρει ταύτην ἐκείνη; Φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. *Μείζων* δὲ ὢν *ὁ Πατὴρ* τῷ αἰτίῳ τοῦ Υἱοῦ, μᾶλλον προβαλεῖται, ἢ ὁ Υἱός· καὶ ἡ διαφορὰ τῶν αἰτιῶν, διαφορὰν δογματίσει φύσεων, ὃ τῆς Ἀρείου λύσσης, οὐ πόρρω.

**ABCDGLMOVWZ**

---

**57-62.** *πάσης-αἴτιος*] Greg. Cypr., *Tomus*, col. 240.57-241.4; cf. Georg. Metoch., *Hist. dogmat.*, § 39, pp. 204.37-205.4 — **60-61.** *ῥίζα-Πατήρ*] cf. Greg. Cypr., *Process. Spir. Sanc.*, cols. 272.3-4 et 278.7 — **61.** *μόνη-θεότητος*] loc. cit., col. 271.44-45

---

**71.** *Μείζων-Πατὴρ*] Ioh. 14:28

---

**60-61.** υἱοῦ-πηγὴ] om. L — **61.** post πατήρ² scr. καὶ μόνη πηγὴ τῆς θεότητος ὁ Πατήρ dittography L — **63.** ἐντελὴς τοῦ ἁγίου πνεύματος per sscr. β′ et α′ Z — **64.** τρισὶν] τρισὶ et sup. scr. ν (per τρισὶν) C — **69.** προόδου] τριάδος A — τ(ήν) sscr. B — **71.** φθείρει] post cor. (ex φθείρη) B: φθείρη D — **72.** τοῦ Υἱοῦ τῷ αἰτίῳ Z — **73.** προβαλλεῖται BG — αἰτίων W — διαφορὰν] post cor. (ex διὰ φορὰν) L

**[17] Ὅτι οὐκ ἀρκεῖ εἰς εὐσέβειαν μόνον τὸ λέγειν ἄκτιστον τὸ ἅγιον Πνεῦμα.**

Εἰ δέ τις ἀποχρῶσαν εἶναι παραίτησιν ἀξιοῖ, τὸ ἄκτιστον ὁμολογεῖν αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον, Πατρί τε καὶ Υἱῷ συνταττόμενον, ὡς ὂν τῇ φύσει αὐτοῖς ὁμοούσιον, ἀποστρέφεσθαι δέ, τοὺς μὴ οὕτως αἱρουμένους φρονεῖν, ὡς μηδὲν ἀσεβείας ἐλλείποντας, καὶ ἱκανὸν εἶναι τοῦτο τεκμήριον οἴεται, τοῦ περὶ τὴν εὐσέβειαν αὐτῶν ὑγιοῦς, ἔνθέν τοι καὶ κοινωνοὺς ἔχειν οὐ παραιτεῖται, ὡς τὸ τῆς εὐσεβείας μηδὲν ἐντεῦθεν παραβλαπτόμενον, δίκαιος ἂν εἴη, οὐδὲν ἧττον εἰς κοινωνίαν προσίεσθαι, τόν γε Νεστόριον καὶ Εὐτυχῆ καὶ Διόσκορον, τὰ ἐκ διαμέτρου κακά, καὶ ὁμότιμα τὴν ἀσέβειαν, ἔτι δὲ Σεβῆρον τὲ καὶ Ζωόραν, οὐ μήν, ἀλλὰ καὶ Σέργιον, Πύρρον, Παῦλον, Ὀνώριον, καὶ τοὺς ταῖς δυσσεβείαις τούτων ἀλόγως καθυπαχθέντας. Οὕτω δὲ κρίσεως ἔχων, ἁλοίη ἂν αἰτίας οὐκ ἀφιείς, τοὺς πάσαις ψήφοις ἐκείνους καθηρηκότας, καὶ καθυποβαλόντας τῷ ἀναθέματι.

**ABCDGLMOVWZ**

---

**[17] Tit.** ante Ἐι δέ scr. ὅτι οὐκ ἀρκεῖ εἰς εὐσέβειαν μόνον, τὸ λέγειν ἄκτιστον τὸ ἅγιον πν(εῦμ)α in marg. BCDLMOVW: in textu A — **1-7.** scr. ὅρα in marg. W — **2.** αὐτοὺς ὁμολογεῖν ALZ — post Πνεῦμα lac. (5-6 litt.) BZ — **3.** ὂν] ὃν B — post ὂν add. ταυτὸν Z — αὐτοῖς] om. W — post αὐτοῖς add. καὶ Z — **4.** μὴ δὲν G — **6.** ἐνθέντοι B — **7.** μηδὲν τὸ τῆς εὐσεβείας Z: τὸ τῆς εὐσεβείας μὴ δὲν BL — **8.** ἧττον B — **9.** γε] τε BDGMOVW — ἐκ] post cor. (ex δε) L — **11.** Πῦρρον Z — Ὀνόριον Z: Ὀνώριον B — **12.** δυσσεβείας L — καθ' ὑπαχθέντας GL — οὕτω B — **13.** ἁλοίη ἂν DLO: ἁλοίη ἄν post cor. (ex ἁλοίη κἂν) V: ἁλοί κἂν B: ἁλοί ἂν post cor. (ex ἁλοί ἂν) G — ἀφιεὶς] post cor. (ex ἀφιεῖς) G — **14.** καθηρϊκότας W — καθ' ὑποβαλόντας G

**[18] Ὅτι δύο ἀρχὰς εἰσάγουσιν ἐξ ἀνάγκης, οἱ λέγοντες καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα.**

Εἰ δὲ καὶ τοὺς δύο αἴτια, ἢ ἀρχὰς δύο, ἐπὶ τῆς ἁγίας Τριάδος κηρύττειν, θρασείᾳ γλώττῃ τολμῶντας, ἀσεβείας διώκουσιν, εἰ καὶ αὐτοί γε οὗτοι, τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ἰδίᾳ ἔθει λέγειν προάγονται, λελήθασιν ἑαυτοὺς γραφόμενοι, ἀγνοίας ἔχεσθαι πάθει, καὶ περὶ αὐτοὺς δήπουθεν τοὺς νόμους τῆς φύσεως. Ἀλλ' ἡμῖν γε, οὐκ ἀποκρυπτέον ἐστὶ τὸ τοῦ πράγματος ἄτοπον· ταὐτὸ γὰρ συμβεβήκει τούτοις ποιεῖν, ὥσπερ ἂν εἴ τις ἄνθρωπον λέγων, μὴ καὶ ζῷον εἶναι αὐτὸν διατείνοιτο· οὕτως ἀσυλλόγιστον πρᾶγμα ἡ πονηρία, καὶ ἃ λόγοις ἀρνεῖται, ἔργοις ἐπιψηφίζεται. Ἀλλ' εἰ δεῖ καὶ τοῦτο εἰπεῖν, τῶν ταύτῃ φρονούντων μᾶλλον ἂν δεξαίμεθα τοὺς δύο ἀρχὰς εὐσεβεῖ διανοίᾳ τῇ σεπτῇ ‖
M 229v Τριάδι ἐπιφημίζοντας, διάφορον δηλαδὴ προϊσχομένους τὸν τρόπον τῆς θεωρίας, ἢ τοὺς δογματίζοντας, τῶν τριῶν τῆς θεαρχίας ὑποστάσεων, τὰς δύο, αἰτίους τῆς μιᾶς εἶναι, εἴτ' οὖν ὁμοτίμους, εἴτ' οὖν διαφόρους, καὶ μή τινα τὸ διττὸν τῆς ἀρχῆς

**ABCDGLMOVWZ**

---

**[18] 9.** ἀσυλλόγιστον-πονηρία] cf. Menander, *Fragmenta*, 768.1; Greg. Naz., *Contra Julian.*, col. 568.3-4; Niceph. Cal. Xanth., *Historia,* col. 428.59-60

---

**[18] Tit.** ante Εἰ δὲ scr. ὅτι δύο ἀρχὰς εἰσάγουσιν ἐξανάγκης (ἐξ ἀνάγκης W) οἱ λέγοντες καὶ (καὶ om. G) ἐκ τοῦ υἱοῦ τὸ πν(εῦμ)α: in marg. BCDGLMOVW: in textu A — **2.** θρασεῖα W — γλώσση BDGMOVW — post γλώττῃ add. τοὺς Z — **4.** προάγονται λέγειν Z — **6.** ἐστι Z — πράγματος in ras. O — **7.** ἄτοπον] πρόσωπον V — συβεβήκει et sscr. μ (per συμβεβήκει) L: συμβε(..)βήκει illeg. Z — ἂν] γὰρ D — post τις scr. et eras. ἂν εἴ τϊς G — **8.** μὴ καὶ] καὶ μὴ Z — **9.** ἃ λόγοις] post cor. (ex ἀλόγοις) D — **10.** post φρονούντων add. ἂν Z — **11.** τοὺς] τὰς A — εὐσεβεῖ] ἀσεβεῖ ALZ — **12.** δηλαδὴ] δὴ Z — προϊσχομένους] προϊσχομένας BDGMOVW — **14.** ὑπόστάσεων B — αἰτίους] αἰτίας G

ἄλλον τρόπον λεγόμενον, ξενιζέτω· *ἀρχὴ μὲν γὰρ ὁ Πατήρ, ὡς τῶν ὑπερουσίων αἴτιος φώτων*, Υἱοῦ τέ φημι καὶ Πνεύματος· ἀρχὴ δὲ καὶ ὁ Υἱός, ἅτε τῶν γεγονότων δημιουργός· αὐτὸς γάρ ἐστι τὸ *ἀρχικὸν* καὶ ποιητικὸν τῆς κτίσεως *αἴτιον*. Εἰ γὰρ καὶ κοινῇ ταῖς τρισὶν ὑποστάσεσι τὸ δημιουργικὸν ὁ Προφήτης ψάλλων ἀπένειμε, τῷ, *φᾶναι· τῷ λόγῳ Κυρίου τοὺς οὐρανοὺς ἐστερεῶσθαι* καὶ τὰ ἑξῆς, ἀλλά γε τὸν Υἱὸν ἑτέρωθι, δημιουργὸν τῆς κτίσεως κατεξαίρετον ἀνυμνεῖ, καὶ *σὺ καταρχὰς* εἰπὼν *Κύριε τὴν γῆν ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου, εἰσὶν οἱ οὐρανοί·* καὶ ἅπασα γὰρ ἡ ἔννοια τοῦ ψαλμοῦ, καὶ ὁ μέγας ὕστερον Παῦλος, *πρὸς τὸν Υἱὸν* εἰρῆσθαι τοῦτο παρίστησιν, ὥς γε δὴ καὶ τῶν θεολόγων ἕτερος, *πάντα* ἔφησε *δι' αὐτοῦ* γεγενῆσθαι, ἀντὶ τοῦ «ἐξ αὐτοῦ»· ταύτῃ τοι καὶ ὁ προφήτης αὖθις φησὶ *μετὰ σοῦ ἡ ἀρχή*, τουτέστιν ἐν σοί· οὐκ ἔξωθεν ἐπιγενομένη· ἀλλ' ἑνοῦσα τῇ φύσει τῆς θεότητός σου· ταύτην τὴν φυσικὴν ἀρχὴν καὶ ὁ προφήτης Ἡσαΐας προσμαρτυρῶν τῷ Υἱῷ, ἔφη· *οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ*· καὶ ὁ Παροιμιαστὴς· *Κύριος ἔκτισέ με*· —ἤγουν ἐκτήσατο με— *ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.* Διὰ δὴ ταῦτα πάντα, καὶ ὁ

**ABCDGLMOVWZ**

---

**19.** ἀρχικὸν… αἴτιον] Greg. Cypr., *Tomus*, col. 242.19

---

**16-17.** ἀρχὴ-φώτων] cf. Iac. 1:17; Ps.-Athan. Alex., *Epist. Castor.*, col. 905.5; Ioh. Damasc., *Exp. fidei*, § 88.48, p. 204 — **21.** φᾶναι-ἐστερεῶσθαι] Ps. 32:6 — **23-24.** σὺ-οὐρανοί] Ps. 101:26 — **26.** πρὸς τὸν Υἱὸν] Heb. 1:8 — **27.** πάντα-δι' αὐτοῦ] Ioh. 1:3 — **28.** μετὰ-ἀρχή] Ps. 109:3 — **31-32.** οὗ ἡ-αὐτοῦ] Is. 9:5 — **32-33.** Κύριος-αὐτοῦ] Prov. 8:22

---

**16.** ἀρχῆ B — **19.** καὶ] om. W — **21.** φᾶναι] post cor. (ex φάναι) O: φάναι AGLVZ — στερεῶσθαι W — **22.** ἑξῆς GL: εξ(ῆς) C — ἀλλά γε] ἀλλ' ἄγε W — ἑτέρωθι] ἐστερεώθι B — κτίσεως] φύσεως Z — **23.** κατ' ἐξαίρετον Z — κατ' ἀρχὰς W — **27.** δι' αὐτοῦ ἔφησε Z — γεγενῆσθαι] post cor. (ex γεγενῆσθε) W — **27-28.** ἐξ' αὐτοῦ OW — **28.** προφήτϊς B — **29.** ἐπιγενομένη] ἐπιγινομένη Z — ἀλλ' ἑνοῦσα DZ — **31.** ἡσαΐὰς A — ὥμου G — **32.** ἔκτησέ με B — ἤγουν] ἢ BDGMOVW — ἐκτίσατό με BGZ — **33.** ὁδῶν] post cor. (ex ὁδὸν) G: ὁδὸν Z — διὰ δὴ] δια δὴ GZ

θεολόγος ἔφη μέγας Γρηγόριος, *ἡ ἐκ τῆς ἀρχῆς ἀρχή· καὶ αὖθις· ἄναρχον, καὶ ἀρχή, καὶ τὸ μετὰ τῆς ἀρχῆς, εἷς Θεός*. Εἰ γοῦν τὸ γεννᾶσθαι καὶ ἐκπορεύεσθαι τῆς ὑποστατικῆς μὲν διαφορᾶς ἑκατέρων τυγχάνουσιν ἴδια, Υἱοῦ φημὶ καὶ Πνεύματος, ἡ δ' αἰτία πρὸς τὸν ἐξ οὗ ἀναφέρεται, ὡς δ' ἂν αὐτοὶ φαῖεν, κοινωνεῖ τῷ Πατρὶ ὁ Υἱός, τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, κοινωνήσει ἄρα καὶ τοῦ αἴτιος εἶναι τοῦ Πνεύματος· καὶ δύο ἐξ ἀνάγκης τὸ συναγόμενον αἴτια, εἰς ἀρχὰς δύο ἀνηνεγμένα ὥσπερ εἴρηται· ὃ μὴ δὲ τῆς ἑλληνικῆς ἀποδεῖν οἶμαι πολυθεΐας. Ὡσαύτως γὰρ ἂν εἴη ψευδόμενος, ὅτε τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς γεννᾶσθαι λέγων καὶ ἐκπορεύεσθαι, αἴτιον δὲ τὸν Πατέρα μὴ εἶναι τούτοις διατεινόμενος, ὅτε τὴν ἐκπόρευσιν καὶ ἐκ τοῦ Υἱοῦ
M 230$^{r}$ δεῖν ἔχειν ‖ τὸ Πνεῦμα οἰόμενος, τῆς δὲ τούτου αἰτίας, στέρεσθαι τὸν Υἱόν. Τοιγάρτοι καὶ θεσμοῖς φύσεως, τὸ βλασφημεῖν αὐτοῖς περιγίνεσθαι ἀποδέδεικται, καὶ τὸ τῇ προσθήκῃ λυμαίνεσθαι, τὸ τῆς θεότητος περὶ τὴν μοναρχίαν σεβάσμιον, οὐχ ἧττον εἰς βλασφημίας λόγον, τῷ εὐσεβῶς κρίνειν ἐπισταμένῳ· φησὶ γὰρ ἡ τῆς ἐκκλησίας βάσις ὁ μέγας Βασίλειος, *ἡ περὶ τὴν τάξιν τῆς ἁγίας*

**ABCDGLMOVWZ**

---

**34.** ἡ ἐκ-ἀρχή] Greg. Naz., *Pasch.*, § 9, col. 633.36; suum, *Theoph.*, § 13, col. 325.20 — **35.** ἄναρχον-Θεός] Greg. Naz., *Supr.*, § 15, col. 476.10-11 — **51-53.** ἡ περὶ-ἄρνησις] Basil. Caes., *Epist.* 52, § 4.16-18, p. 137

---

**34.** μέγας ἔφη BDOV — **36.** γενᾶσθαι W — **37.** ἑκατέρων] ἑτέρων A — υἱοῦ] sscr. W — φημι A — **38.** ἐξ οὗ] ἐκ σοῦ G — ἀναφέρεται] ἀναφέροται A — δ'] om. G — αὐτοὶ] αἱ τοὶ L — **39.** ante υἱὸς scr. et del. λόγος L — **40.** ἐξανάγκης GLMZ — **42.** ἀποδεῖν] ἀποδέον Z — **43.** ὅ, τε] ὅ, τε B — **44.** γενᾶσθαι W — μὴ] om. Z — **45.** τούτοις] τούτων et sscr. add. οις (per τούτοις) C — καὶ] om. G — **46.** ante δεῖν scr. οῦ Z — **48.** περιγίνεσθαι] περιγίνεται Z — **49.** οὐχ ἧττον B: οὐχ' ἧττον G — **50.** ante φησὶ scr. βασιλ(είου) in marg. ACDGLMOVW — **51.** ἐκκλησίας-βασίλειος deest in textu et scr. in marg. Z — ἁγίας] sscr. C

*Τριάδος καινοτομία, αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει· καὶ ὅλης ἐστὶ τῆς πίστεως ἄρνησις*. Ἀλλ' ἐπὶ τὰς κοινὰς τῶν πατέρων ἐννοίας, καὶ τῶν θεσπισμάτων αὖθις ἐπανιτέον τὰ ἀξιώματα, καὶ τῶν μὲν φωνῶν τὸν ἔρανον ἐατέον· τοῖς δ' ἐκείνων καθόλου συγγράμμασι, τὸν νοῦν προσεκτέον, τοὺς εὐσεβεῖν αἱρουμένους· ὡς γὰρ ἐν ἄλλῳ οὐδενὶ τῶν τῆς καθολικῆς ἐκκλησίας δογμάτων, οὐδ' ὁπητιοῦν διηνέχθησαν, οὐδὲ περὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, χώραν διαφωνίας δεδώκασιν. Ἀλλ' ὑπὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ἐμπνεόμενοι Πνεύματος ὡς λύρα ὄντως, ἐναρμόνιον διὰ πάντων καὶ καλὸν καὶ ἔντονον ᾄδουσα, τὴν τούτου ἐκπόρευσιν, κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν, καθὰ δὴ καὶ τὴν γέννησιν τοῦ Υἱοῦ, μόνῳ προσεῖναι τῷ Πατρί, ὡς αἰτίῳ τῶν ἐξ αὐτοῦ ὁμοφυῶν ὑποστάσεων, σαφῶς ἐμελῴδησαν· *ἵνα κἀν τούτῳ θεϊκὸν ἔχωσι τὸ μοναδικόν*, ὡς ἡ θεολόγος ἔφη Γρηγορίου φωνή. Μᾶλλον δέ, τί δεῖ καθ' ἕνα τοὺς ἁγίους προϊσχεσθαι; Οὕτως ἡ τῶν περιωνύμων πατέρων ἐν Νικαίᾳ τοπρῶτον οἰκουμενικὴ καὶ θεία ἐδογμάτισε σύνοδος, καὶ τοὺς μὴ οὕτω φρονοῦντας, ὡς τῆς καθολικῆς ἐκκλησίας ὑβριστάς, τῷ ἀναθέματι καθυπέβαλεν. Οὕτως ἡ δευτέρα

**ABCDGLMOVWZ**

---

**64-65.** ἵνα-μοναδικόν] Greg. Naz., *Heron.*, § 16, col. 1221.9-10 — **66-73.** Οὕτως-ἑβδόμη] cf. infra § **44.1-7**

---

**53.** ante Ἀλλ' ἐπὶ scr. βασιλ(είου) in marg. B: scr. et del. βασιλ(είου) C — **55.** ἐατέον B — δε' ἐκείνων Z — καθόλου] om. Z — **58.** οὐδ' ὁπητιοῦν A — **60.** διὰ] sscr. Z — **62.** τοῦ] sscr. Z — γένησιν W — **62-63.** τοῦ υἱοῦ] om. Z — **63.** τῶν ὁμοφυῶν αὐτοῦ Z: τῶν ἐξ' αὐτοῦ ὁμοφυῶν W — **64.** κἄν D: κἀν GZ — **65.** δεῖ] χρὴ G — **66.** καθένα τοὺς ἁγίους BDO: τοὺς ἁγίους καθ' ἕνα G — προϊχεσθαι DG — ante οὕτως scr. συνόδ(ου) α' in marg. G — **67.** πατέρων] om. W — τοπρῶτον] post cor. (ex τὸ πρῶτον) C: τὸ πρῶτον ABGL — **68.** ante ὡς τῆς scr. ση(μείωσαι) in marg. C — **69.** καθ ὑπέβαλεν V — δευτέρα] δευτευτέρα W

τῶν οἰκουμενικῶν ἐθέσπισε, τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς μόνου ἐκπορεύεσθαι δογματίσασα. Διεδέξατο ταύτην ἡ τρίτη, ἐβεβαίωσεν ἡ τετάρτη, σύμψηφος ἡ πέμπτη κατέστη, συνεκήρυξεν ἡ ἕκτη, ἐπεσφράγισε λαμπροῖς ἀγωνίσμασιν ἡ ἑβδόμη. Οὐκ ἔστιν εἰπεῖν, μὴ περιφανῶς παρρησιαζομένην εἰσέτι νῦν αὐτῶν τὴν εὐσέβειαν, ὑφ' ἧς φρουρούμενοι, ταύτην φρουρεῖν ἀνεπηρέαστον, τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ μόνου τοῦ Πατρός, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ θεολογοῦσι καὶ δογματίζουσι, καὶ τοῖς μὴ οὕτω φρονοῦσι, βαθεῖαν ἐπενηνόχασι καὶ καιρίαν τομήν, ὥσπέρ τι μέλος ἀνιάτως ἔχον, τῆς
M 230v καθολικῆς ‖ ἐκκλησίας, ἀφειδῶς τούτους ἐκτέμνοντες.

**ABCDGLMOVWZ**

---

**64-65.** ἵνα-μοναδικόν] Greg. Naz., *Heron.*, § 16, col. 1221.9-10

---

**70.** post Πνεῦμα add. τὸ ἅγι(ον) G — **71.** δογματίσασα ἐκπορεύεσθαι Z — τρίτη] γ′ Z — post τρίτη scr. γ′ in marg. G — **72.** τετάρτη] δ′ GZ — post τετάρτη scr. δ′ in marg. G — πέμπτη] ε′ GZ — post πέμπτη scr. ε′ in marg. G — **73.** ἕκτη] στ′ GZ — post scr. στ′ in marg. G — ἑβδόμη] ζ′ GZ — post scr. ζ′ in marg. G — **74.** εἰσέτι] εἰς ἔτι GWZ — **75.** εὐσέβειαν] ἀσέβειαν A — ὑφ' ἧς] ὑφῆς M — **76.** ἀνεπιρέαστον B: ἀνεπειραίαστον Z — post ἀνεπηρέαστον scr. ση(μείωσαι) in marg. G — **77.** μὴ] sscr. A — **78.** βαθείαν L — ὥσπέρ τι C — **79.** ἔχον] ἔχων Z

**[19] Ὅτι τῷ ἀναθέματι παραπέμπονται, οἱ τῷ ἁγίῳ συμβόλῳ προστιθέντες τί, ἢ ἀφαιροῦντες.**

Αὐτίκα γὰρ ἡ δευτέρα καὶ οἰκουμενικὴ ἁγία Σύνοδος, προὔργου νενομοθέτηκε, μὴ ἀθετεῖσθαι τὴν ἐκτεθεῖσαν πίστιν, πρὸς τῶν μακαρίων ἐκείνων ὀκτωκαίδεκα τριακοσίων θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ. Ἡ δέ γε τρίτη, ἐν ἑβδόμῳ κανόνι, *ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν* διωρίσατο, *ἢ συγγράφειν, ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων, τῶν ἐπὶ Νίκαιαν ἐν ἁγίῳ Πνεύματι συναχθέντων· τοὺς* γὰρ ταύτην ὑπαλλάττειν *ἀποτολμῶντας*, εἰ μὲν ἱερωμένοι εἶεν, τῆς ἱερωσύνης ἀλλοτριοῖ, λαϊκοὺς δέ, τοῦ ἀναθέματος ἀξιοῖ. Ἡ μέντοι *ἁγία* καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἐν τῷ πρώτῳ κανόνι, *ὁρίζομεν* φησὶν, *ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν, ὑπὸ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτώ ἁγίων καὶ μακαρίων πατέρων τῶν εἰς Νίκαιαν συνελθόντων*, καὶ τῶν λοιπῶν ἁγίων συνόδων, *καὶ πάντων τῶν ἐν ἐκκλησίᾳ Θεοῦ διαπρεψάντων ἀνδρῶν, οἳ γεγόνασι φωστῆρες ἐν*

**ABCDGLMOVWZ**

---

**[19] 4-9.** ἑτέραν-ἀποτολμῶντας] *Conc. Ephes.* (431), canon 7, *COGD*, p. 108.1025-1031; *Σύνταγμα*, p. 200.20-24 — **10-14.** ὁρίζομεν-συνελθόντων] *Conc. CP Trullanum* (692), canon 1, *COGD*, pp. 224.229-225.237; *Σύνταγμα*, p. 302.7-11 — **14-16.** καὶ πάντων-ἐπέχοντες] loc. cit., *COGD*, p. 228.376-380; *Σύνταγμα*, p. 305.10-12

---

**[19] Tit.** scr. ὅτι τῷ ἀναθέματι παραπέμπονται, οἱ τῷ ἁγίῳ συμβόλῳ προστιθέντες τί ἢ ἀφαιροῦντες in marg. BCGMOVW: in textu A: scr. συνόδου, δευτέρας in textu V: scr. συ(νόδου) β′ in marg. ACDGLMOWZ: alt. man. scr. συ(νόδου) β′ in marg. G — **1.** δευτέρα] β′ Z: om. G — οἰκουμενικῆ W — ἁγία καὶ οἰκουμενικὴ σύνοδος G: καὶ οἰκουμενικὴ σύνοδος ἁγία per sscr. β′ et α′ Z — προύργου BOVWZ — **4.** τῶν] τῆς A — ante Ἡ δέ scr. συνόδ(ου) τρίτ(ης) in textu V: scr. συ(νόδου) γ′ in marg. ACDGLMOWZ — γε] sscr. Z — **5.** μὴ δενὶ B — **6.** ὡρισθεῖσαν Z — **7.** ὑπαλλάττειν] ἐναλλάττειν Z — **8.** ἱεροσύνης A — ἀλλότριοι B — **9.** ante Ἡ μέντοι scr. συνόδου, τετάρτης et del. τετάρτης et scr. ἕκτης V: scr. συ(νόδου) στ′ in marg. ABCDGLMOW — **10.** ἕκτη] στ′ GZ — **11.** τε] om. Z — **12.** post ἁγίων add. καὶ πανεφήμων Z — **12-13.** τριακοσίων δέκα καὶ ὀκτὼ] τιη′ G: τι′ καὶ ὀκτὼ Z — **13.** ὀκτώ ABCO — **15.** post διαπρεψάντων add. ἁγίων G

κόσμῳ, λόγον ζωῆς ἐπέχοντες. Εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς εὐσεβείας δόγματα, κρατεῖ καὶ ἀσπάζεται, ἔστω ἀνάθεμα κατὰ τὸν προεκτεθέντα ὅρον ὑπὸ τῶν ἁγίων πατέρων, καὶ ὡς τοῦ χριστιανικοῦ καταλόγου ἀλλότριος, ἐξωθείσθω· ἡμεῖς γάρ, οὔτε προστιθέναι τί, οὔτε μὴν ἀφαιρεῖν, κατὰ τὸν προορισθέντα παντελῶς διεγνώκαμεν, ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον. Ἡ δὲ ἑβδόμη σύνοδος, ἐν τῷ παρ' αὐτῶν ἐκτεθέντι ὅρῳ, ἡμεῖς φησι, τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν· ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν· ἡμεῖς τοὺς προστιθέντας τὶ ἢ ἀφαιροῦντας ἐκ τῆς ἐκκλησίας, ἀναθεματίζομεν. Ἀλλὰ καὶ ὁ Κελεστῖνος πάπας Ῥώμης φησί, τίς πώποτε οὐκ ἄξιος τοῦ ἀναθεματισμοῦ ἐκρίθη, ἢ ἀφελὼν τί, ἢ προσθεὶς τῇ πίστει; Τὰ γὰρ μεστῶς καὶ φανερῶς παραδοθέντα ἡμῖν παρὰ τῶν ἁγίων ἀποστόλων, οὔτε προσθήκην, οὔτε μείωσιν ἐπιδέχεται. Ὁ δὲ Δάμασος πάπας καὶ αὐτὸς Ῥώμης, πρὸς Παυλῖνον γράφων Θεσσαλονίκης ἐπίσκοπον, εἴ τις μὴ εἴποι φησὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐσίας καὶ Θεοῦ Θεόν, Λόγον,

**ABCDGLMOVWZ**

---

**16-22.** Εἰ δέ-λόγον] *Conc. CP Trullanum* (692), canon 1, *COGD,* p. 228.391-401; *Σύνταγμα,* p. 305.18-27 — **23-26.** ἡμεῖς-ἀναθεματίζομεν] *Conc. Nicaen. II* (787), Act. VII, col. 416.7-10; cf. Joseph Patr. CP, *Apologia,* p. 151.27-29 — **27-30.** τίς-ἐπιδέχεται] Celestinus, *Epist. Nestor.,* p. 79.22-24; cf. Joseph Patr. CP, *Apologia,* p. 151.15-17 — **31-34.** εἴ τις-ἔστω] Damasus, *Conf. fidei*: 'si quis non dixerit Spiritum Sanctum de Patre esse vere ac proprie, sicut Filium, de divina substantia et Deum verum, anathema sit'. col. 362.10-12; cf. Sylv. Syrop., *Resip.*, p. 396.67-69

---

**18.** προεκτεθέντα] προτεθέντα Z — **19.** ἐξωθείσθω] ἐκτεθείσθω V — **20.** τί] om. Z — μὴν] om. Z — post ἀφαιρεῖν add. τὶ Z — **21.** post προορισθέντα add. ὅρον G — καθ' ὅντινα οὖν V: καθ' ὄντινα οὖν L — **22.** ante Ἡ δὲ scr. συνόδ(ου) ἑβδόμης in textu V: scr. συ(νόδου) ζ′ in marg. ABCDGLMOWZ — ἑβδόμη] ζ′ G — παρ' αὐτῶν] παρ' αὐτῆς BDOVGW — **23.** φησὶ BGZ — **25.** φυλάττωμεν G — ἡμεῖς in ras. W — προστιθέντας] προτιθέντας Z — **26.** ante Ἀλλὰ scr. κελεστίν(ου) in marg. ACDGMOV: scr. κελεστῖν(ου) in marg. W — κελλεστῖνος W — **27.** φησὶ bis acc. B — **28.** ἀφαιλῶν D — προσθεὶς] προστιθεὶς G — **30.** ante Ὁ δὲ scr. δαμάσου in marg. ACDGLMOVW — Ῥώμης καὶ αὐτὸς per sscr. α′ et β′ Z

M 231r

*ἀνάθεμα ἔστω.* Ὁ δὲ μέγας Βασίλειος ‖ τί δεῖ πολλὰ λέγειν; *Εἰ γὰρ ἄλλοτε ἄλλας δεῖ πίστεις συγγράφειν, καὶ μετὰ τῶν καιρῶν ἀλλοιοῦσθαι, ψευδὴς ἡ ἀπόφασις τοῦ εἰπόντος, «εἷς Κύριος· μία πίστις· ἓν βάπτισμα».* Καὶ αὖθις· *χρὴ γὰρ ἀπαράβατον μένειν, τὴν ἐν τῷ ζωοποιῷ Πνεύματι δεδομένην παράδοσιν· ἢ προσθεῖναί τι ἢ ἀφελεῖν, ζωῆς ἐστιν ἀϊδίου, προδήλως ἔκπτωσις.* Καὶ ἐν ταῖς ἀσκητικαῖς αὐτοῦ διατυπώσεσι, *φανερὰ δὲ ἔκπτωσις, πίστεως καὶ ὑπερηφανίας κατηγορία, ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τῶν μὴ γεγραμμένων.* Ὁ δὲ ἅγιος Κύριλλος ἐν τῇ τρίτῃ συνόδῳ, *κατ' οὐδένα τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα* φησί, *τὴν ὁρισθεῖσαν πίστιν, ἥγουν τὸ τῆς πίστεως σύμβολον τὸ παρὰ τῶν ἁγίων πατέρων· οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν τῶν ἐκεῖ ἐγκειμένων ἀμεῖψαι, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος, «μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου»· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ, οὐκ ἀλλότριον τοῦ Υἱοῦ, κατὰ τὸν τῆς οὐσίας λόγον.* Καὶ αὖθις· *ὁ γὰρ μικρόν τί, ἢ μέγα τῶν θείων ἀθετῶν,*

**ABCDGLMOVWZ**

---

**34-37.** Εἰ γὰρ-βάπτισμα] Basil. Caes., *Epist.* 226, § 3.22-25, p. 27; cf. infra § **21**.17-20 — **36-37.** εἷς-βάπτισμα] Eph. 4:5 — **38-39.** προσθεῖναι-ἔκπτωσις] Basil. Caes., *Spir. Sanc.*, § 12,28.21-22, 26-27, p. 346 — **40-42.** φανερὰ-γεγραμμένων] Basil. Caes., *Fide,* col. 680.9-11 — **43-51.** κατ' οὐδένα-λόγον] Cyrill. Alex., *Epist. Ioh.,* p. 19.20-26 — **47-48.** μὴ-σου] Prov. 22:28 — **51-53.** ὁ γὰρ-συνηρίθμηται] Cyrill. Alex. apud Joseph Patr. CP, *Apologia,* p. 155.3-5

---

**34.** ante Ὁ δὲ scr. βασιλ(είου) in marg. ACDGLMOVW — **36.** μία] μετὰ L — **37.** ante Καὶ αὖθις scr. τοῦ αὐτοῦ in marg. ABCDMOVZ — **38.** τῶ] om. G — ἦ] ἢ BG — προσθῆναι L — τὶ] om. G — **39.** ἔκπτωσις G — ante Καὶ ἐν scr. τοῦ αὐτοῦ in marg. ABCDGLMOVZ — **41.** γεγγραμένων et μ sscr. (per γεγγραμμένων) B — **42.** ἐπισάγειν W — post ἐπεισάγειν add. τῖ G — ante Ὁ δὲ scr. τοῦ ἁγίου κυρίλλου in textu Z: scr. κυρίλλ(ου) in marg. ABCLDMOVW — **46.** ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε G — ἀμείψαι Z — **47.** μέταιρε] post cor. (ex μέτερε et sscr. αι) W: — **49.** λα(…)λοῦντες lac. (2-3 litt.) W — **50.** ἐξαυτοῦ L: ἐξ' αὐτοῦ W — **51.** ante Καὶ αὖθις scr. τοῦ αὐτοῦ in marg. ABCDLMOVW: in textu GZ

*ὅλον ἀθετεῖ τὸν νόμον, καὶ τοῖς καθάπαξ τοῦτον παραβαίνουσι συνηρίθμηται*. Ὁ δὲ Πηλουσιώτης ἅγιος Ἰσίδωρος, περὶ τῶν ἀφελεῖν ἢ προσθεῖναι τολμώντων τοῖς θεοπνεύστοις λογίοις, ἓν ἐκ τῶν δύο φησὶν οἱ τοιοῦτοι νοσοῦσιν· *ἢ γὰρ οὐ πεπιστεύκασιν, ἁγίῳ Πνεύματι τὰς θείας λελέχθαι γραφάς, καὶ εἰσὶν ἄπιστοι, ἢ ἑαυτοὺς ἡγοῦνται, σοφωτέρους τοῦ παναγίου Πνεύματος· καὶ τί, ἄλλο, ἢ δαιμονῶσιν;* Καὶ οὕτω μὲν οἱ θεῖοι πατέρες τῶν διαστρέφειν καὶ ὁποσονοῦν τὰ τῆς πίστεως πειρωμένων καταψηφίζονται· οὗτοι δὲ εἰς τοσοῦτον ἦκον παραπληξίας, ὥστε τοὺς θείους μὲν τῶν πατέρων θεσμούς, καὶ τὰ ἐπανατεινόμενα τοῖς παραβάταις δεινότατα, ψόφον ἄλλως ἡγεῖσθαι, τὴν πίστιν δὲ μὴ πεφρικέναι, τῇ περὶ τὸ ἅγιον σύμβολον προσθήκῃ, ἀτεχνῶς τιθέναι ἀνάστατον. Τίς ἆρα νοῦ καὶ φρενὸς ὑγιῶς ἔχων ἄνθρωπος, τῆς τούτων οὐκ ἂν ἀποσταίη σκαιότητος!

**ABCDGLMOVWZ**

---

**55-58.** ἢ γὰρ-δαιμονῶσιν] cf. Euseb. *Hist.*, § 28.18, p. 142.13-16

---

**53.** ante Ὁ δὲ scr. ἰσιδ(ώρου) τοῦ πηλουσιώτου in textu Z: scr. ἰσιδ(ώ)ρ(ου) in marg. ABCDGLMOVW — πηλουσϊώτϊς B: πηλουσιότης AW — **54.** προσθῆναι G — **55.** οἱ τοιοῦτοι] οὗτοι Z — ante ἢ γὰρ scr. alt. man. ση(μείωσαι) ἐν τέλει in marg. C — **56.** λελέχθαι τὰς θείας Z — **57.** σοφοτέρους G — παναγίου] ἁγίου LZ — **58.** ἢ] οἳ B — **59.** ὁπωσονοῦν G — **61.** ἐπανακτεινόμενα L — **62.** ἄλλως] ἄλλον W — **63.** προσθήκῃ] post cor. (ex πρὸς θήκῃ) L

**[20] Ἐκ τῶν πρακτικῶν τῆς κατὰ τὸν Φώτιον συνόδου.**

Διά τοι τοῦτο καὶ Φώτιος ἐκεῖνος, ὁ λόγου μὲν καὶ σοφίας ἥκων εἰς τὸ ἀκρότατον, τὸν πατριαρχικὸν δὲ τῆς Κωνσταντινουπόλεως θρόνον ἰθύνων, Βασιλείου τοῦ Μακεδόνος, τὰ τῆς βασιλείας
M 231v σκῆπτρα διέποντος, τὴν ἐκκλησίαν φωράσας Ῥω-‖μαίων, τὰ καινὰ ταυτὶ καὶ νόθα τηνικαῦτα ἐπεισάγουσαν δόγματα, καὶ τὸ ἅγιον σύμβολον περὶ τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος, τολμῶσαν τῇ προσθήκῃ μεταποιεῖν, σιωπὴν ἄγειν ἐπὶ τοῖς ἄρτι κινουμένοις ἀτόποις, οὐκ ᾤετο δεῖν. Ταύτῃ τοι καὶ λόγον συντεταχώς, οὐδὲν ἐλλείποντα σοφίας καὶ δυνάμεως, τῆς περὶ τὰς λογικὰς ἀντιθέσεις καὶ ἀποδείξεις, τὸ δυσσεβὲς αὐτῶν ἐστηλίτευσε φρόνημα. Οὐ μήν, ἀλλὰ καὶ σύνοδον συγκροτήσας, πλειόνων ἢ τριακοσίων ἀρχιερέων, τῇ κελεύσει τοῦ εὐσεβοῦς βασιλέως, τῇ δὲ συνόδῳ παρῆσαν, καὶ οἱ τὴν γνώμην ἅμα, καὶ τὸ περὶ τὰ καίρια τῶν δογμάτων φρόνημα, τῶν τριῶν ἑτέρων ἐκκλησιῶν ἀνατεθειμένοι, καὶ ἀπαγγελοῦντες, οἷος ἦν τὸν πάπαν ἐκκήρυκτον θέσθαι τῆς ἐκκλησίας. Ὡς δ' οὗτος ἔγνω φωραθείς,

**ABCDGLMOVWZ**

---

**[20] Tit.** κατὰ τὸν Φώτιον συνόδου] Concilium CP (879) — **8.** λόγον] scil. Phot., *Mystag.*

---

**[20] Tit.** scr. ἐκ τῶν πρακτικῶν τ(ῆς) κ(α)τ(ὰ) τ(ὸν) φώτιον (φωτί(ου) G) συνόδου: in marg. CGMW: in textu A: scr. ἐν ἔτ(ει) στῳ τῳ οῳ in marg. G: scr. πε(ρὶ) τοῦ φωτ(ίου) in marg. ACDMOV: in textu Z: scr. περὶ φωτί(ου) GL — **1.** ante διά τοι scr. alt. man. ὅτι μ(ὲν) οἱ λατίνοι ἀναθέματι καθ' ὑπεβλήθησ(αν) ἀνάγνωσ(ον) τὸν παρόντα λόγον· in marg. A — διά τοὶ V: διὰ τϊ L — **2.** πατριαρχικὸν] πατριαρχὸν V — δὲ] om. D — κωνσταντινουπόλεως] κωνσταντίνου BDMOVW — **3.** θρόνων ἰθύνων O: ἰθύνων θρόνον G — post μακεδόνος scr. τὰ τῆς βασιλείας in marg. Z — **5.** ἐπεισάγουσαν] εισάγουσαν et ἐπ sscr. (per ἐπεισάγουσαν) Z — **8.** κοινουμένοις G — **9.** συντεταχὼς] post cor. (ex συντεταχῶς) Z — **11.** ante οὐ μὴν alt. man. scr. σύνοδος τριακοσί(ων) π(ατέρων) in marg. A — **12.** post πλειόνων scr. ἢ τπθ′ in marg. G — **13.** ἅμα G — **15.** ἀνατεθεμένοι L: ἀνατιθεμένοι Z — καὶ] om. G

καὶ τὴν ἀποκήρυξιν δείσας, παλινῳδίαν τὲ ἦσε, καὶ διαπρεσβευσάμενος πρὸς τὴν σύνοδον, τήν τε καινοτομίαν ἠρνεῖτο τῆς πίστεως, καὶ μὴ ἄλλως φρονεῖν ὡμολόγει καὶ ἰσχυρίζετο, περὶ τὴν τοῦ ἁγίου ἐκπόρευσιν Πνεύματος, ἢ ὡς τὸ παρὰ τῆς πρώτης καὶ δευτέρας οἰκουμενικῆς συνόδου ἐκτεθὲν ἱερὸν σύμβολον, καὶ παρὰ τῶν ἑξῆς ἁγίων συνόδων τὸ κῦρος δεξάμενον, δογματίζει καὶ βούλεται. Οἷς ἀρεσθέντες ἡ σύνοδος, τῆς κοινωνίας αὐτόν, οὐκ ἐξέωσαν· ὡς γὰρ ἐν τῇ ἕκτῃ πράξει τῆς τοιαύτης συνόδου διείληπται, μετὰ τὴν ἀνάγνωσιν τοῦ ἱεροῦ συμβόλου, κοινῇ πάντες *οὕτω φρονοῦμεν* οἱ πατέρες ἐβόησαν· *οὕτω πιστεύομεν· εἰς ταύτην ἐβαπτίσθημεν τὴν ὁμολογίαν, καὶ τοῦ ἱερατικοῦ βαθμοῦ ἠξιώμεθα· τοὺς* δὲ *ἑτέρως παρὰ ταῦτα φρονοῦντας*, ὡς ἐχθροὺς τοῦ Θεοῦ καὶ τῆς ἀληθείας ἡγούμεθα. *Εἴ τις* οὖν *παρὰ τοῦτο τὸ ἱερὸν σύμβολον, τολμήσει ἕτερον ἀναγράψασθαι*, ἢ προσθεῖναι, ἢ ἀφελεῖν, ἢ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, κατάκριτος καὶ πάσης χριστιανικῆς ὁμολογίας ἀλλότριος· τὸ γὰρ ἀφελεῖν ἢ προσθεῖναι, ἀτελῆ τὴν εἰς τὴν ἁγίαν Τριάδα, μέχρι σήμερον ἄνωθεν κατιοῦσαν ὁμολογίαν ἡμῶν

**ABCDGLMOVWZ**

---

**26-36.** οὕτω-καταγινώσκει] *Conc. CP* (879), Act. VI, cols. 516.46-517.8; cf. Georg. Schol., *Process. Spir. Sanc.* (Tract. I), p. 232.24-32

---

**20.** πνεύματος ἐκπόρευσιν A: πνεύματος ἐκπόρευσιν per sscr. β′ et α′ Z — **21.** πρώτης] α′ Z — δευτέρας] β′ GLZ — **22.** ἁγίων ἑξῆς Z — κύρος G — **24.** ante Ὡς γὰρ scr. ἐκ τῶν πρακτικ(ῶν) τ(ῆς) κ(α)τ(ὰ) τὸν φώτ(ιον) συνόδου: in marg. BDLOV — ἕκτῃ] στ′ G — **25.** διήληπται Z — **26.** οὕτω B — φρονοῦμεν οἱ] post cor. (ex φρονουμενοὶ) D — **29.** ἡγούμεθα B — **29-30.** ante Εἴ τις scr. ὅρος in marg. G — **30.** οὖν] om. W — παρατοῦτο M — **34.** κατιοῦσαν ὁμολογίαν ἄνωθεν G — ἡμῶν] om. B

δείκνυσι, καὶ τῆς τε ἀποστολικῆς παραδόσεως, καὶ τῆς τῶν πατέρων διδασκαλίας καταγινώσκει. Ἰδίᾳ δὲ καὶ οἱ τοῦ πάπα πρέσβεις, τὸ ἱερὸν σύμβολον ἀπαραλλάκτως ἀνωμολόγησαν, καὶ τὸν προστιθέντα ἢ ἀφαιροῦντα, ἢ ἀφαιρήσοντα, ἢ προσθήσοντα, τῷ ἀναθέματι ‖ καθυπέβαλον. Οὗ δὴ καὶ τίς ἀντερεῖ, μὴ οὐχὶ κληρονόμους εἶναι τοὺς μὴ τὴν ὁμολογίαν ταύτην, εἰς τέλος διατηρήσαντας, ἀλλὰ καὶ τῷ ἁγίῳ συμβόλῳ, τῇ προσθήκῃ λυμαινομένους, καὶ καινά τινα δόγματα τῇ τῆς ἐκκλησίας οὐ συμβαίνοντα παραδόσει, ἐπεισάγειν οὐ δεδιότας;

M 232r

**ABCDGLMOVWZ**

---

**35.** τε] om. W — **36.** διδασκαλεί(ας) G — **37.** ἀπαραλάκτως G — **38.** ἀφαιροῦντα] ἀφαιροῦν et sscr. τα (per ἀφαιροῦντα) Z — **39.** καθ' ὑπέβαλον G — ἀνταιρεῖ W — **42.** δόγματα] δόγμα D — **42-43.** παραδόσει οὐ συμβαίνοντα per sscr. β′ et α′ Z — **43.** παραδώσει L — ἐπισάγειν W — δεδιώτας D: δεδειότας Z

**[21] Περὶ τῆς ἐπιστολῆς τοῦ πάπα.**

Ὅρα γὰρ εἰς ὅσον ἦκον θράσους καὶ ἀπονοίας, καὶ οἷα την τήμερον, κατὰ τῆς εὐσεβείας νεανιεύονται, ἐν ἕξει τοῦ κακοῦ τῷ μακρῷ χρόνῳ γεγενημένοι· *οὐ γὰρ βιωτός* ἐστιν αὐτοῖς *ὁ βίος*, εἰ μὴ καὶ ἄλλοι τῆς σφῶν κακίας μετάσχοιεν. Πρὸς γοῦν τὸν βασιλέα ἐκεῖνον Μιχαὴλ τὸν Παλαιολόγον, τῷ *λατινικῷ* μελετῶντα ἤδη προστεθῆναι φρονήματι ὡς ἅπαντες ἴσασιν, ἐπιστολὴν ὁ τῆς παλαιᾶς Ῥώμης πρόεδρος πέπομφεν, ἐν ᾗ θεολογήσας δῆθεν μέχρι τινός, εἶτα καὶ βλασφημήσας εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τοιάνδέ τινα ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ φωνήν, οὐκ ἠδέσθη προέσθαι· *εἰ* τοίνυν *ὁμολογήσετε τὴν εἰρημένην πίστιν, ἑτοίμως ἔχομεν δέξασθαι ὑμᾶς*. Ὦ φρενὸς ἄκρατα μεθυούσης τὴν ἀσέβειαν! Ὦ γλώττης ἀπεναντίας ἱσταμένης τῇ ἀληθείᾳ, καὶ πᾶν αἱρετικόν, ἀναστομούσης φρόνημα! Ἔστι γὰρ ἄλλη τὶς πίστις ὀρθῶς ἔχουσα, ἢ ἡ παρ' ἡμῖν κηρυττομένη; Οὕτως ἀνέδην καὶ *γυμνῇ* φᾶναι *τῇ κεφαλῇ*, ὁ πάντα τολμηρὸς οὑτοσὶ καὶ

**ABCDGLMOVWZ**

---

**[21] 3.** οὐ-βίος] Soph., *Oedipus Col.*, 1692 (bis); Plato, *Apologia Socratis*, 38a5-6; Gorgias, *Fragmenta*, 11a128 — **10-11.** εἰ τοίνυν-ὑμᾶς] cf. Joseph Patr. CP, *Apologia*, p. 263.6-7 — **15.** γυμνῇ-κεφαλῇ] Plato, *Phaedrus* 243b6; Lucianus, *Anacharsis*, § 16.25

---

**[21] Tit.** scr. περὶ τ(ῆς) ἐπιστολ(ῆς) τοῦ *πάπα*: in marg. ABCDLMVW — **1.** ἦκον L — **1-2.** τηντήμερον] την τήμερον CO: τὴν τήμερον ADGW: τὴν σήμερον B — **2.** εὐσεβείας] ἐκκλησίας Z — **3.** βιωτός] βρωτός B — ἐστὶν B — αὐτοῖς] om. Z — **4.** ante πρὸς γοῦν scr. alt. man. ση(μείωσαι) ὁ μιχαὴλ οὗτος, πρῶτος ὑπάρχει τῶν παλαιολόγων· ὃς τὴν κωνστ(αντινούπολη) ἐλύσατο ἐκ τῆς χειρὸς τῶν λατίνων, ἐλθῶν ἀπὸ τῆς ἀνατολῆς· οὗτος λατινίσας, τὸ ἅγι(ον) ὅρ‹ε›ι ἡφάνησ(εν) τ(ῆς) λαύρ(ας) μον(ής) μεινάσ(ειν) (vel. μεινήσ(ειν) pro μηνύσειν) ἐπεὶ ἐκοινώνισε τῇ δόξῃ αὐτοῦ in marg. A: scr. ση(μείωσαι) in marg. W — **7.** ῥώμης C — **9.** post αὐτοῦ scr. et del. πονηροῦ θησαυροῦ τῆς L — φωνήν] om. Z — **10.** ante εἰ τοίνυν scr. περὶ τοῦ μηνύμ(α)τ(ος) τοῦ *πάπα* in marg. G — ὁμολογήσετ(αι) DO — **11.** δέξασθαῖ G — **13.** τις V — **14.** ἡμῖν] post cor. (ex ἡμ(ὶν)) B: ἡμῶν GLZ — **15.** ἀναίδην DG: ἀναίδην et sscr. ε (per ἀνέδην) Z — γυμνὴ AW — φάναι ALZ — οὑτοσὶ] οὑτησὶ L

τοὺς ἐπηρτημένους κινδύνους ἥκιστα ὑποπτήσσων, τὰς πλήρεις ἀσεβείας φωνὰς ἐκπτύειν οὐ παρητήσατο. *Εἰ γὰρ ἄλλοτε ἄλλας δεῖ πίστεις συγγράφειν, καὶ μετὰ τῶν καιρῶν ἀλλοιοῦσθαι,* κατὰ τὸν θεοφόρον καὶ μέγαν Βασίλειον, *ψευδὴς ἡ ἀπόφασις τοῦ εἰπόντος, «εἷς Κύριος· μία πίστις· ἓν βάπτισμα». Εἰ δὲ ταῦτα ἀληθῆ μηδεὶς ὑμᾶς ἐξαπατάτω κενοῖς λόγοις.*

**ABCDGLMOVWZ**

---

**17-21.** ἄλλοτε-λόγοις] Basil. Caes., *Epist.* 226, p. 27, § 3.22-26; cf. supra § **19**.34-37 — **20.** εἷς-βάπτισμα] Eph. 4:5

---

**16.** ἐπηρτημένους] ἐπηρμένους W — ἥκιστα L — ὑποπτύσσων A: ὑποπήσσων O: ὑποπτήσων BZ — πλήρης DMW — **17.** ante εἰ γὰρ scr. βασιλ(είου) in marg. DG — **18.** τῶν] sscr. Z: τὸν et sscr. ῶ (per τῶν) W — ἀλοιοῦσθαι BD — **20.** εἰπόντως post cor. (ex εἰπόντος et sscr. τ(ως)) B — **21.** μηδεῖς G: μὴ δεὶς B

**[22] Τίνες λέγονται αἱρετικοί.**

Εἰ τοίνυν *ὁ μικρὸν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως, αἱρετικός ἐστιν* ὡς ὁ πολιτικὸς ὁρίζεται νόμος, εἰ ὁ μὴ τῷ κοινῷ κανόνι τῆς ἐκκλησίας στοιχῶν σαφῶς αἱρετίζει, ὃ ἂν αἱροῖτο τῶν κοινῶν καὶ καθολικῶν δογμάτων ἐν προτιμήσει τιθέμενος, εἰ ὁ ἀνατρέπων τὸ εὐαγγέλιον, καὶ τοῖς ὅροις μὴ ἐμμένων τῆς πίστεως, κακοδοξίας οὐκ ἂν ἐκφύγοι γραφήν, τίς *οὕτως ἀνόητος καὶ τοῦ συμφέροντος ἀσυλλόγιστος*, ὃς οὐκ ἂν ἀξιώσειε, μερίτας εἶναι καὶ τούτους τοῦ ἀναθέματος, ὡς ἄντικρυς αἱρετίζοντας; Ὅτι δὲ ἀνα-
M 232$^{v}$ ‖τρέπει τὸ εὐαγγέλιον, τὸν ὅρον τῆς πίστεως ὁ Ἰταλὸς ἀθετῶν, παρίτω μοι ὁ ψυχὴν καὶ γλῶτταν καὶ τὰ πάντα χρυσοῦς, τοῖς ῥηθεῖσιν ἐκ πολλοῦ τοῦ κρείττονος ἐπιψηφιζόμενος· ἐν γὰρ τῇ πρώτῃ ὁμιλίᾳ τῆς ἐξηγήσεως τῆς πρὸς Γαλάτας ἐπιστολῆς, *καὶ μήν, μίαν* φησὶν *εἰσῆγον, ἢ δευτέραν ἐντολήν, τὴν τῆς περιτομῆς· καὶ τὴν τῶν ἡμερῶν μόνον καινοτομοῦντες· ἀλλὰ δεικνὺς ὅτι καὶ μικρὸν παραποιηθέν, τὸ ὅλον λυμαίνεται*, εἶπε· *τὸ εὐαγγέλιον ἀνατρέπεσθαι· καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν, ὁ*

**ABCDGLMOVWZ**

---

**[22] 1-2.** ὁ μικρὸν-ἐστιν] *Synt.*, α', § 2, p. 74.22-23

---

**[22] 1-2.** ὁ μικρὸν-νόμος] Theod. Balsam., *Nomocanon* (resp. 35), p. 476: Αἱρετικός, φησίν, ἐστί, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις, ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως; cf. Joseph Patr. CP, *Apologia*, p. 143.15 — **2.** ὁ πολιτικὸς-νόμος] cf. *Epanagoge Aucta* 53, 4, : αἱρετικὸς δέ ἐστι καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως; *Basilica* (liber 1), 1, § 18.4-6: αἱρετικὸς δὲ πᾶς ὃς καὶ μικρῷ ὑποδείγματι παρὰ τὸ τῆς καθολικῆς ἐκκλησίας δόγμα ἢ τῆς εὐθείας ἐφάνη τραπείς. — **6-7.** οὕτως-ἀσυλλόγιστος] Flav. Joseph., *Antiq. Jud.*, Lib. 9, § 255, p. 320.4-6 — **12-20.** καὶ μήν-ἀρχῆς] Ioh. Chrys., *Gal.*, § 6, col. 622.29-38

---

**[22] Tit.** scr. τίνες λέγονται αἱρετικοὶ in marg. ACGLMOVWZ — **1.** ante Εἰ τοίνυν scr. ση(μείωσαι) in marg. W — ὀρθοδόξου] ὀρθῆς Z — αἱρετικὸς L — **2.** νόμος] λόγος et sscr. add. νόμος Z — εἰ μὴ ὁ Z — **3.** αἱρεῖτο AG: αἱρεῖτο post cor. (ex αἱροῖτο) D — **6-7.** ἐκφύγοι-ὃς οὐκ ἂν] om. *homoioteleuton* A — **7-8.** καὶ τούτους μερίτας εἶναι AZ: καὶ τούτους τοὺς μερίτ(ας) εἶναι L — **10.** παρίττω B — γλώτταν L — τὰ] om. G — **11.** ante ἐν γὰρ scr. χρ(υσοστόμ)ου in marg. ABCDGLMOVWZ — **13.** τὴν] om. A — **14.** ἡμερῶν] μερῶν V — καινοτομοῦντες] om. G: καὶνοτομοῦντες L — δεικνεὶς L — post καὶ add. τὸ G — **15.** λυμένεται L

*μικρόν τι τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο, οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως, τὸ γοῦν βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς.* Καὶ μετά τινα, *ποῦ νῦν εἰσὶν οἱ φιλονεικίας ἡμᾶς κρίνοντες, ἕνεκα τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως, καὶ λέγοντες, μηδὲν εἶναι μέσον ἡμῶν* τε *κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι; Ἀκουέτωσαν τί φησιν ὁ Παῦλος· ὅτι τὸ εὐαγγέλιον ἀνέτρεψαν, οἱ μικρόν τι καινοτομοῦντες. Τούτοις δὲ μικρὸν οὐκ ἂν εἴη τὸ πλημμελούμενον, κατ' αὐτῆς τῆς ὑπάρξεως τοῦ παναγίου Πνεύματος, βλάσφημον γλῶτταν κεκινηκόσιν, ἣν βλασφημίαν, καὶ μὴ δ' ἡντιναοῦν ἔχειν παραίτησιν ὁ Χριστὸς ἀπεφήνατο.* Καὶ αὖθις, ὁ αὐτός φησι, *τί τοῖς τοῦ Δεσπότου ῥήμασιν, ὑμεῖς ἐπιδιατάττεσθε; Ἢ οὐκ ἴστε ὅτι καὶ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, εἰ καί τις ποτὲ ἐπιχειρήσειεν, ἢ εἰς τοσαύτην ἐξέλθοι τόλμαν, ὥστε προσθεῖναί τι τοῖς παρὰ τοῦ βασιλέως γράμμασιν, ἢ ἀφελεῖν, τοῦ ὁμογενοῦς ἡμῖν, καὶ τῆς αὐτῆς φύσεως κοινωνοῦντος, τὴν ἐσχάτην ὑφίσταται δίκην, καὶ οὐδὲν αὐτὸν τῆς τιμωρίας ἐξελέσθαι δύναται; Εἰ τοίνυν ἐπ' ἀνθρώπου τοσοῦτος ὁ κίνδυνος,*

**ABCDGLMOVWZ**

---

**20-25.** ποῦ νῦν-οὐκ] Ioh. Chrys., *Gal.*, § 6, col. 622.39-45 — **28-37.** τί τοῖς-ἐπιχειροῦσι] Ioh. Chrys., *Pentec.*, § 2, col. 465.45-56

---

**17.** περὶ κόψας B — **19.** χείρονα] χείρω G — **20.** ante Καὶ μετάτινα scr. τοῦ αὐτ(οῦ) in marg. ABCDLMOV — νῦν εἰσιν DLO — **21.** προς B — ante μηδὲν scr. ὅρα in marg. W — μὴ δὲν BL — **23.** φησὶν DG — **24.** post καινοτομοῦντες scr. τούτοις δὲ μικρόν τι καινοτομοῦντες dittography L — **26.** παναγίου] ἁγίου ALZ — βλάσφημον δόξαν κεκινηκόσιν G: βλάσφημίαν καὶ μίαν γλῶτταν κεκινηκόσιν L — **26-27.** ἣν βλασφημίαν] ἣν κ(αὶ) λασφημίαν B — **27.** μηδ' DG — ἡντινοῦν AL: ὁντινοῦν Z: ἥντινα οὖν B — παραίτησιν ἔχειν ALZ — **28.** ante Καὶ αὖθις scr. τοῦ αὐτ(οῦ) in marg. ABCDLMOVW: scr. χρ(υσοστόμ)ου in marg. V — αὐτὸς φησὶ G — **29.** ἐπιδιατάττεσθε] in ras. B — **30.** ἐξέλθοι] ἔλθοι Z — **31.** προσθεῖναι τί BDOV — **32.** ὁμογενοῦς] ὁμονογενοῦς L — **34.** ἐπαν(θρώπ)ου G — τοσοῦτος] τόσος W

35 *ποία γένοιτ᾽ ἂν συγγνώμη, τοῖς τοσαύτην ἀπόνοιαν ἐπιδεικνυμένοις, καὶ τὰ παρὰ τοῦ κοινοῦ Σωτῆρος ἡμῶν εἰρημένα παραφθείρειν ἐπιχειροῦσι;* Καὶ μετ᾽ ὀλίγα, τὸ δὲ πάντων μέγιστον· *οὐκ ἤκουσας, ὅτι καὶ ἐν τῇ Παλαιᾷ ἐν Σαββάτῳ ξύλα τίς συλλέξας, καὶ μίαν ἐντολὴν παραβάς, καὶ οὐδὲ ταύτην μεγίστην, ἐσχάτην ἔδωκε*
40 *δίκην; Καὶ Ὀζᾶν τὴν κιβωτὸν μέλλουσαν περιτρέπεσθαι, στηρίξας, παραχρῆμα ἀπέθανεν, ὅτι μὴ προσηκούσης αὐτῷ διακονίας*
M 233r *ἥψατο;* ‖ *Εἶτα Σαββάτου μὲν παράβασις, καὶ τὸ τῆς κιβωτοῦ καταπιπτούσης μόνον ἅψασθαι, εἰς τοσαύτην ἤγαγε τὸν Θεὸν ἀγανάκτησιν, ὡς μὴ δὲ βραχείας τυχεῖν συγγνώμης τοὺς ταῦτα*
45 *τολμήσαντας· ὁ δὲ δόγματα φρικτὰ καὶ ἀπόρρητα λυμηνάμενος, ἀπολογίας τεύξεται καὶ συγγνώμης; Οὐκ ἔστι ταῦτα οὐκ ἔστιν· ἀλλ᾽ αὐτὸ μὲν οὖν τοῦτο ἐστί, τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ καὶ ὑπὲρ τῶν μικρῶν ἀγανακτεῖν.* Καὶ μετά τινα· *διατοῦτο καταγέλαστοι γεγόναμεν καὶ Ἕλλησι καὶ Ἰουδαίοις, εἰς μυρία*
50 *τῆς ἐκκλησίας σχιζομένης· εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδᾶν τῶν θείων θεσμῶν ἐπιχειροῦντες, καὶ μικρόν τι παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ*

**ABCDGLMOVWZ**

---

**37-48.** οὐκ-ἀγανακτεῖν] Ioh. Chrys., *Gal.*, § 6, col. 622.46-623.4 — **48-54.** διατοῦτο-κατέλαβε] loc. cit., col. 623.19-25

---

**36.** κοινοῦ] κονοῦ et sscr. ι (per κοινοῦ) A — **37.** ante Καὶ μετ᾽ ὀλίγα scr. τοῦ αὐτ(οῦ) in marg. ACDLMVW — **38.** καὶ] om. Z — **40.** ὀζᾶν VW — **41.** παρὰ χρῆμα L — **41-42.** ὅτι μὴ-ἥψατο] om. B — **42.** παράβασις] παρατήρησϊς G — **47.** οὖν] om. AD — **48.** ante Καὶ μετάτινα scr. τοῦ αὐτ(οῦ) in marg.ABCDLMOVW — διὰ τοῦτο L — **49.** ἰουδαίοις καὶ ἕλλησι per sscr. β′ et α′ C — **50.** οἱ] om. Z

παρὼν ἐτέχθη λοιμός· οὐκ ἂν ὁ τοσοῦτος χειμών, τὰς ἐκκλησίας κατέλαβε. Καὶ προϊών, οὐκ εἶπε φησίν, ἐὰν ἐναντία καταγγέλλωσιν, ἢ ἀνατρέπωσι τὸ πᾶν, ἀλλὰ κἂν μικρόν τι εὐαγγελίζωνται, παρὸ εὐηγγελισάμεθα· κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν. Ταῦτα τῆς χρυσῆς γλώττης διεξιούσης, οὐδ' ἂν εἷς οἶμαι τῶν εὖ φρονούντων, ἢ τῆς τῶν Λατίνων κοινωνίας ἀνάσχοιτο, οὕτω κρηπῖδος κινδυνευούσης ἀνατετράφθαι, ἢ τὸν τούτοις καθηγεμόνα, ἐνάριθμον τοῖς εὐσεβέσι φήσαι τοῦ Χριστοῦ ἀρχιποίμεσιν· ὁ γὰρ τούτοις τιθέμενος, πάσαις ψήφοις τῶν ἁγίων πατέρων κατάκριτος, ὡς συνανατρέπων τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, καὶ οἷς τοὺς ἀθετοῦντας τοῦτο προσίεται, ἐσχάτην ἑαυτῷ προμνώμενος δίκην καὶ ἀπαραίτητον· ἓν γὰρ τὸ αἴτιον τῶν θεαρχικῶν ὁμολογοῦμεν ὑποστάσεων, ὡς πάντες οἱ ἅγιοι κατὰ τὴν τοῦ εὐαγγελίου φωνὴν φρονοῦσι καὶ δογματίζουσι, *θεμέλιον δὲ ἄλλον παρὰ τὸν κείμενον, οὐδεὶς δύναται θεῖναι*· οὔκουν, οὐδ' εἰ ἄγγελός ἐστιν ἐξ οὐρανοῦ, κατὰ τὸν μέγαν τῆς ἀληθείας κήρυκα. *Ἀλλὰ τούτων μέν, ἅλις*· ἃ γὰρ ἂν ἔχοι τὶς εἰπεῖν, οἰόμενος αὐτοὺς ἐπισχήσειν, τῆς περὶ τὴν ὕπαρξιν τοῦ ἁγίου Πνεύματος ὀλεθρίου δόξης καὶ σφαλερᾶς, τοσαῦτα σχεδόν ἐστιν.

**ABCDGLMOVWZ**

---

**54-56.** οὐκ εἶπε-ἔστωσαν] Ioh. Chrys., *Gal.*, § 7, col. 624.22-26 — **66-67.** θεμέλιον-θεῖναι] 1 Cor. 3:11 — **67.** ἄγγελος-οὐρανοῦ] Gal. 1:8 — **68.** Ἀλλὰ-ἅλις] Plato, *Politicus,* 287a6; cf. Clem. Alex., *Stromata* Lib. II, § 22.136.6.24 p. 188; ibid., Lib. III, § 21.2.11, p. 205; Ioh. Chrys., *Iohan.* (Hom. 2), § 3, col. 33.23-24; Cyrill. Alex., *Comm. Ioh.*, Lib. V, § 5, p. 55.22; suum, *Epist. Pasch.,* col. 600.41

---

**54.** ante Καὶ προϊών scr. τοῦ αὐτ(οῦ) in marg. ABCLVWZ: scr. χρ(υσοστόμ)ου in marg. M — προϊῶν L — ἐναντία] om. Z — **55.** τὸ πᾶν ἀνατρέπωσιν G — εὐαγγελίζονται GW — **56.** τυ[....]χὸν lac. (3-4 litt.) W — **57.** ante Ταῦτα scr. in τ(οῦ) αὐτοῦ marg. L — γλῶττας sscr. ης et acc. cor. (per γλώττης) Z — διεξιούσης] δεξιούσης D — **58.** εὐφρονούντων L — κοινωνίας τῶν λατίνων Z — post οὕτω scr. περιφανῶς τῶ μέρει τῆς σφῶν ἀπονοίας, τῆς τοῦ εὐαγγελίου BDV — **59.** κρηπίδος ABDGZ: post cor. (ex κρηπῖδος) C — **60.** φῆσαι AGLZ — **62.** συνανατρέπων]ἀνατρέπων W — **63.** τοῦτο] τούτω G — **66.** δὲ] om. W: γ(ὰρ) G — **66-67.** οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον G — **69.** ἂν] sscr. G — τις Z — **71.** σχεδόν ἐστιν] post cor. (ex σχεδὸν ἐστιν) W: σχεδὸν ἐστὶν G

**[23] Περὶ τοῦ ἀζύμου.**

Ἑξῆς δ' ἂν εἴη θεωρητέον, τὰ τῆς τελουμένης πρὸς αὐτῶν φημι τῶν Λατίνων ἀζύμου θυσίας· ὅπως μὲν ἡ καθολικὴ ἐκκλησία τὴν ἀναίμακτον ἱερουργίαν ἄνωθεν ἀπ' αὐτοῦ Χριστοῦ, καὶ τῶν ἱερῶν αὐτοῦ μυηθεῖσα κηρύκων καὶ ἀποστόλων, εἰς τόδε τοῦ χρόνου,
M 233v καλῶς φρονοῦσα ‖ διατετήρηκεν· ὅθεν δ' οὗτοι τὴν λώβην εἰσεδέξαντο ταύτην, καὶ τίνα ἃ συνιστάντες, τὸ δεῖν ἄζυμα θύειν, ἀμαθῶς πάνυ προΐσχονται. Ἀνακτέον δὲ τὸν λόγον τοῦ μεγάλου τουτουΐ μυστηρίου, ἐπ' αὐτὴν τὴν ἀρχὴν τοῦ παντός· οὐδὲν γὰρ ὅ τι μὴ τῶν ἱερῶν τῆς ἐκκλησίας ὀργίων, εὐθὺς αὐτῇ τοῦ κόσμου καταβολῇ, τὰς ἀρχὰς ἔσχε καὶ τὰ προοίμια. Ὡς συμβολικῶς μὲν τῇ Παλαιᾷ ὑπεγράφετο, τρανότερον δὲ οἱ τῆς χάριτος, τὰς τούτων μυήσεις ἐδέξαντο, οὐχ' ἥκιστα δὲ τὸ προκείμενον, τὸ ἀληθὲς τῷ λόγῳ προσμαρτυρεῖ. Παράγεται μὲν εἰς τὸ εἶναι, ὁ ὑλικὸς οὑτοσὶ καὶ ὁρώμενος κόσμος, οὐδενὶ πλέον, ἢ ἐν νοήματι τοῦ Θεοῦ χρησαμένου, ἄψυχός τε καὶ τῆς οἱασοῦν αἰσθήσεως ἔρημος, νεκρῶν σωμάτων, οὐδὲν ἄμεινον διακείμενος, πρός γε τὴν τοῦ

**ABCDGLMOVWZ**

---

**[23] Tit.** πε(ρὶ) τοῦ ἀζύμου:· in textu BCDMOVWZ: scr. πε(ρὶ) τοῦ ἀζύμου in marg. AGL — **1.** *πρὸς*] in ras. B — αὐτῶν] αὐτόν G — φημί V: φημὶ B — **2.** καθολικῆ BW — **3.** post αὐτοῦ add. τοῦ Z — ἱερουργίαν] post cor. (ex ἱερῶν) del. ῶν et scr. ουργίαν (per ἱερουργίαν) L — **5.** λώβην] λώβη et sscr. ν per λώβην Z — **6.** συνιστάντες] post cor. (ex συνιστᾶντες) D — **7.** ἀμαθ(ῶς)] in ras. G — προΐσχοντο LZ — ἀνακταίον B — **8.** τουτουὶ] τοῦτου L: τούτου Z — **9.** ὅ, τι] ὅ et τι sscr. (per ὅτι) C: ὅτι AGLZ — post αὐτῇ add. τῇ BDOV — **10.** καταβολῇ] post cor. (ex καταβολὴ) DZ — **11.** τρανώτερον WZ — **13.** οὑτωσὶ BG — **15.** ἄψυχός τε] post cor. (ex ἄψυχὸς τε) C

*ὄντως ὄντος* νεῦσιν ὁμοῦ καὶ οἰκείωσιν· καὶ τούτου, τὰ μέν, *οὐκ ἐξ ὑποκειμένης*, *τὰ δ' ἐξ ὑποκειμένης ὕλης*, τῷ θείῳ Λόγῳ δεδημιούργητο καὶ πεποίητο, οὐκ ὀλίγῳ τῷ μέσῳ τῆ ἑαυτοῦ φύσει, τὸ ἀπεξενωμένον κεκτημένου, πρὸς τὸν πεποιηκότα· ὅ γε δὴ *ἀριστοτέχνης* Θεός, πρόνοιαν ἐσχηκώς, τὸ σύμπαν τόδε τῆς ὁρατῆς κτίσεως, αὐτῷ τὲ προσανέχειν, καὶ πρὸς αὐτὸν τὴν ἅπασαν τείνειν ἔφεσιν —οὕτω γάρ, τὰ μέν, τὰς τοῦ εἶναι, τὰ δέ, *τὰς τοῦ ζῆν ἀφορμὰς* ποριζόμενα—, ἀποχρῶσαν ἔμελλεν ἕξειν τὰ γεγενημένα, τὴν εἰσέπειτα διαμονήν, ἀφ' ἑκάστης τῶν φύσεων, ὅσον ἦν καθῆκον ἐρανισάμενος, καὶ τὰς αὐτῶν δυνάμεις τὲ καὶ ποιότητας, εἰς ταὐτὸ συναγαγών, καὶ ὥς τι φύραμα ὑποθέμενος, πολύχουν τῇ φύσει καὶ διακεκριμένον, ἐνῆκεν αὐτῷ, ὡσανεί τινα ζύμην ἑνωτικὴν τῶν ὅλων, καὶ συνεκτικὴν καὶ κινητικήν, τὴν λογικὴν ψυχήν τε καὶ νοεράν. Καὶ οὕτως ἄμφω τὰς ἀλλήλων ἐκ διαμέτρου διεστηκυῖας φύσεις ἑνώσας, ἓν ἀποτετέλεκε ζῷον, τὸν ἄνθρωπον, τῆς νοερᾶς ψυχῆς, ὡς ἐν φυράματι ζύμης, δεσμοῖς φύσεως ἀρρήτοις συνανακραθείσης ὕλῃ τῇ παχυτάτῃ καὶ ὁρωμένῃ. Ἵνα τί γένηται, καὶ τί τὸ ἐντεῦθεν ἀποβησόμενον; Ὅπως

**ABCDGLMOVWZ**

---

**17.** ὄντως ὄντος] cf. Arist., *Ethica Eudemia* 1238a19-20 — **17-18.** οὐκ ἐξ-ὕλης] cf. Arist., *Physics* 193a29 et 225a3-6 — **21.** ἀριστοτέχνης] cf. Pind., *Fragmenta* 57 — **24.** τὰς-ἀφορμὰς] Greg. Nyss., *Instit.*, p. 52.23

---

**17.** οὕτως ὄντος L: ὄντος ὄντως G — νεύσ(ιν) B — **17-18.** ἐξυποκειμένης Z — **18.** ἐξυποκειμένης Z — **20.** ἀπεξενωμένον] ἀπεξ ἐνωμένον B — **22.** τὲ] om. AL: τε BWZ — **24.** ἀφορμᾶς B — ποριζόμενα] ποριζόμεθα G — = ἔξειν GL — **25.** γεγεννημένα M — εἰς ἔπειτα W — **27.** ὥς τι] sscr. τ(ι) O — **28.** διακεκριμμένον D — ὡσανεί τινα] post cor. (ex ὡσανεὶ τινα) V: ὡσανεὶ τινὰ Z — **31.** ἑνώσας] post cor. (ex ἐνώσας) L — **32.** post ἐν scr. et del. ὡς (?) G — **33.** post συνανακραθείσης add. τῇ G

ἡνίκα ἂν ἡ νοερὰ ψυχὴ τῆς τοῦ Θεοῦ ὑμνῳδίας ἐπιλάβηται, παρ' οὗ τὰς ἀφθόνους καὶ ἀταμιεύτους ἐδέξατο χάριτας, ἐν θαύματι ποιουμένη τὰ τούτου μεγαλεῖα, καὶ τὰς ὑπερφυεῖς καὶ ἀπείρους
M 234r δυνάμεις, οὗ μόνου ‖ πρὸς ἡμῶν καὶ ὑπὲρ ἡμῶν, ὁ τῇ φύσει δεῖται ἀνενδεής, τηνικαῦτα συνημμένος εἴη καὶ πᾶς ὁ κόσμος αὐτῇ, ὅσα καὶ γλώττῃ χρώμενος ταύτῃ, καὶ δι' αὐτῆς ὑμνεῖν καὶ δοξάζειν οἷός τε γίγνοιτο, τὸν τὸ εἶναι ταύτῃ δεδωρημένον. Μαρτυρεῖ μου τοῖς λόγοις δι' αἰνιγμάτων, ὁ νομοθετῶν ἐπιφανέστατος Μωυσῆς, ἐν τῇ συμβολικῇ καὶ μάλιστα τοῦ ἱερέως στολῇ· διακεκόσμητο γὰρ οὗτος, κατὰ τὴν τοῦ θεόπτου νομοθεσίαν. Καὶ εἰσιών, τὰς ἱλαστηρίους εὐχὰς καὶ θυσίας ἐπιτελέσων, συνεισῆγε πάντα τὸν κόσμον ἑαυτῷ, δι' ὧν περιέκειτο ἱερῶν ἐνδυμάτων· μίμημα γὰρ ἀέρος μέν, ὁ ποδήρης χιτών, ὕδατος δέ, οἱ ῥοϊσκοι, γῆς τὸ ἄνθινον, πυρὸς τὸ κόκκινον, οὐρανοῦ, ἡ τῆς ἐπωμίδος κατασκευή, ἐφ' ἧς οἱ δύο περιφερεῖς σμάραγδοι, τῶν τούτου ἡμισφαιρίων σύμβολα, τοῦ δὲ ζωοφόρου κύκλου, οἱ ἐπὶ τῶν στέρνων δώδεκα λίθοι, τοῦ δὲ συνέχοντος καὶ διοικοῦντος Λόγου τὰ σύμπαντα, τὸ λογεῖον. Οὗτος γάρ, ὡς ἄν τις ζύμη, *πολυσχεδεῖ* ἑνωθεῖσα φυράματι, εἰς

**ABCDGLMOVWZ**

---

**41-51.** Μαρτυρεῖ-λογεῖον] cf. Exod. 28:1ff — **43-51.** συμβολικῇ-λογεῖον] cf. Ps.-Macar./Symeon, *Sermones* (Hom. 11), 5 § 2.1-12 p. 150; Georg. Cedr., *Comp. hist.,* pp. 138.22-139.5; Theoph. Achrid., *Epist.,* p. 173.2-5 — **52.** πολυσχεδεῖ] Theod. Cyr., *Trinit.,* col. 1148.23

---

**35.** ὑμνωδίας] post cor. (ex ὕμνωδίας) L: ὑμνοδίας B — **37.** ὑπερφύεις L — **38.** ἡμῶν] ἡμᾶς Z — **39.** ἀνενδεὴς in ras. O — **40.** ὑμνεῖν] ὑμνεῖ et ν sscr. A — **41.** γίγνοιτο] γένοιτο A — **44.** τοῦ] om. A — **45.** συνεισῆγε] συνεῖγε et σῆ sscr. (per συνεισῆγε) B — **46.** ante μίμημα scr. ἐξήγησις τ(ῆς) ἱερουργίας in marg. C — **47.** χιτῶν L — **48.** κόκκινον] κόκινον et κ sscr. (per κόκκινον) Z — ἐπωμῖδος W: — ἐφ' ἧς] ἐφ' οἷς G — **50.** ζωοφόρου] ζωηφόρου B — δώδεκα] ιβ′ LZ — λίθοι] λίθους L — **51.** συνέχοντος] post cor. (ex συνέχωντος) L — **52.** οὗτος] οὕτω G — post πολυσχεδεῖ lac. (2-3 litt.) V

ὁμόνοιαν καὶ κοινωνίαν, καὶ ὁμοφροσύνην, καὶ κρᾶσιν, τὸ πᾶν ἑνοποιεῖ καὶ συνέχει, καὶ πρὸς τὴν τοῦ κρείττονος κατανόησιν ἀνατείνει, παρ' οὗ καὶ τὸ εἶναι καὶ τὸ διαμένειν αὐτοῖς, κεχορήγηται. Ἀλλὰ γὰρ βραχὺς ἦν ὁ μετρῶν χρόνος ταυτηνὶ τῷ ἀνθρώπῳ τὴν εὐδαιμονίαν. Μὴ ἐνεγκὼν γοῦν τὸ τῆς τιμῆς ὑπερβάλλον, ᾗ τετίμητο τῇ τοῦ αὐτεξουσίου ἐλευθερίᾳ, ὃ δὴ τῇ τοῦ λογικοῦ συνεισέρχεται φύσει, ὠλιγώρησε μὲν τῶν τοῦ Δεσπότου καὶ Κηδεμόνος ἐπιταγμάτων, ἐσπείσατο δὲ τῷ δολίῳ καὶ ἀλάστορι δράκοντι, οὗ τὸν ἰὸν ἄκρατον ἐκπιών, τῷ λείῳ προσαναχρωσθέντα τῆς ἡδονῆς, τοῦ φωτὸς μέν, τὸ σκότος, τῆς ἀληθείας δὲ τὴν πλάνην ἠλλάξατο. Μὴ δὲ τὸν φυσικὸν αἰδεσθεὶς νόμον, ὃν ὁ δημιουργὸς Λόγος ἀπαραίτητον ἐπέστησεν αὐτῷ δικαστήν, καὶ τῶν πρακτέων ὑφηγητήν, ἐντεῦθεν τῆς φυσικῆς ἐκείνης ἐκτραπεῖσα καὶ ζωτικῆς, ἡ ἐν ἡμῖν τοῦ Λόγου ζύμη, δυνάμεως, εἰς ὀξώδη καὶ διεφθορότα μετημείφθη χυμόν· ἐξ οὗ πᾶν ὀλέθριον ἐκρυὲν πάθος, τὰς τῆς ψυχῆς δυνάμεις ἠνδραποδίσατο. Ῥᾷστα δὲ ὁ παμπόνηρος δαίμων ἡμῶν κεκράτηκε, τῷ μὴ τὴν ὄρθιον καὶ στενὴν καὶ τεθλιμμένην τῆς σωφροσύνης

**ABCDGLMOVWZ**

---

**60-61.** τῷ δολίῳ-δράκοντι] cf. Amphil. Icon., *Natal. Dom.,* 126-128, p. 8 — **62-63.** τοῦ φωτὸς-σκότος] cf. Ioh. 3:19; 2 Cor. 6:14

---

**53.** κοινωνίαν] κινωνοί(αν) Z — post κοινωνίαν scr. περὶ τῶν in marg.C — κράσιν WZ — **54.** καὶ] om. L — **55.** παροῦ BGOW — εἶναι καὶ] om. Z — **56.** γ(ὰρ)] sscr. Z — **57.** ἐνεγκὼν] post cor. (ex ἐνεγκῶν) L — **58.** ᾗ τετίμητο] post cor. (ex ᾗ τὲ τίμητο) L — αὐτεξουσίου] αὐτεξουσία M — **58-59.** συνεισέρχεται τῇ τοῦ λογικοῦ Z — **59.** ὠλιγόρησε G: ὠλειγώρησε Z: ὠλιγόρισε W — τῶν τοῦ] τοῦ τοῦ L — **61.** post τῷ scr. et del. τελ per τελλείω (?) L — **62.** προσαναχρωσθέντα] post cor. (ex προσαναχθέντα) B — **64-65.** δικαστὴν αὐτῷ G — **65.** πρακτέων] post cor. (ex πρακτέον) L: πρακτέον D — **66.** καὶ] om. W — ἡμῖν] ὑμῖν G — **67.** μετημήφθη G — ἐξοῦ G — **68.** ἐκ̣ρυὲν ABG: ἐκ̣ρυὲν Z — παμπόνηρος] πόνηρος et sscr. παμ (per παμπόνηρος) B: πανώλεθρος G

καὶ δικαιοσύνης βαίνειν προστάξαι, ἀλλὰ τὴν πρανῆ καὶ κατάντη
M 234v ‖ καὶ πλατεῖαν καὶ εὐρύχωρον, τῆς ἀκολασίας καὶ ἀσελγείας, καὶ
πάσης ἄλλης παρανομίας, ἀμέλει. Καὶ τῆς κακίας ὀργώσης, καὶ
τοῦ μὲν φυσικοῦ περιγινομένης νόμου, τῷ δὲ τῶν ἀνθρώπων
γένει, βάραθρον ἀπωλείας ὅσαι ὧραι ὑποροττούσης, δεύτερος τῷ
θείῳ ἰατρείας, οὐκ ἠπόρει τρόπος, λογικῇ φύσει καὶ αὐτεξουσίῳ
προσήκων —*τιμωρῶ* γὰρ μόνον *χειρί*—, ἀπὸ τῶν χειρόνων ἄγχοντα
καὶ στίζοντα ἐπιστρέφειν, καὶ ταύτῃ πρὸς τὰς ἀμείνους τῶν ὁδῶν
ἐπανάγειν, ἀλόγῳ μᾶλλον, καὶ οὐ λογικῇ φύσει προσῆκε· τὰ γὰρ
*ἔρημα λογισμοῦ*, κεντοῦντας *πρὸς τὴν νύσσαν* ἐπανακάμπτειν, ἡ
παροιμία φησίν. Εἰ καὶ πατάσσει βιαζόμενος ἔσθ’ ὅτε, καὶ τῆς
ἰδίας αὐτοῦ, καὶ τῆς ἡμῶν παρὰ τὸ εἰκὸς ὁ Θεὸς φύσεως, ταύτῃ
τοι καὶ τῷ φυσικῷ, τὸν ἐν γράμμασι νόμον, εἰς συμμαχίαν
ἐκπέμπει· ὡς γέγραπται, *νόμον ἔδωκεν εἰς βοήθειαν*. Τοιγαροῦν καὶ
τοὺς τῶν Ἑβραίων *παῖδας* ἀμυδραῖς τισιν ἐμφάσεσιν εὐσεβείας
προκατειλημμένους, ὁμοῦ μέν, τῆς μακρᾶς ἐκείνης τοῦ Φαραὼ καὶ
τῶν Αἰγυπτίων δουλείας, ἐξαισίοις δυνάμεσιν, ὁ μαρτυρηθεὶς
ὑπὲρ ἅπαντας ἐγνῶσθαι Θεῷ Μωσῆς ἀπαλλάττων ἦν, καὶ πρὸς

**ABCDGLMOVWZ**

---

**84.** νόμον-βοήθειαν] cf. *Synt.*, χ', § 28, p. 513.20

---

**77.** τιμωρῶ … χειρί] Soph., *Oedipus Tyr.* 107, 140 — **80.** ἔρημα λογισμοῦ] Ioh. Chrys., *Coloss.*, § 3, col. 335.17 — πρὸς-ἐπανακάμπτειν] cf. Theoph. Simoc., *Hist.*, 5.11.1-2, p. 208; Theod. Sync., *Hom. Av.*, p. 75.39 — **84.** νόμον-βοήθειαν] Is. 8:20

---

**72.** πλατείαν BZ — εὐρύχωρον G — **73.** ὀργώσης] post cor. (ex ὁργώσης) D — **75.** ὥραι BDOW — ὑποροττούσης] ὑποκηρυττούσης Z — δεύτερος] δεύτερον W — **76.** ἠπόρει] ἠπόρη DO: ἠπόρητο B — λογικῇ GW — φύσει] post cor. (ex κ(αὶ)) W — αὐτεξουσίῳ] αὐτεξουσία A — **77.** γὰρ] sscr. Z — μόνον] post cor. (ex μόνων) W: μόνω Z — **79.** ἐπανάγειν] ἐπάγειν W — **80.** κεντοῦντας] κινοῦντας Z — νύσσαν AL — post ἐπανακάμπτειν scr. παροιμ(ία) in marg. ACL — **84.** τοιγαροῦν] post cor. (ex τοι γὰρ οὖν) L — **85.** παῖδας] post cor. (ex παίδας) D — **86.** προκατη-|λειμμένους G: προκατειλημένους W — Φαραῶ BZ — **88.** ὑπεράπαντας V

τὴν προτέραν τοῦ γένους ἐπανάγων ἐλευθερίαν, ὁμοῦ δὲ καὶ ταῖς
90 αἰσθητῶς συμπιπτούσαις τοῦ βίου μεταβολαῖς, τὰ ὑπὲρ αἴσθησιν
ἐγκαταμιγνύς, τρόπους συμβολικῶν ἐδίδασκε τελετῶν, ὡς τὰ τῶν
νηπίων εἰσέτι φρονοῦντας, καὶ μήπω εἰς ἡλικίαν τὴν τοῦ
Πνεύματος παραγγείλαντας, ποικιλίᾳ παραπετασμάτων, τὸ κατὰ
Χριστὸν ἀποταμιεύων μυστήριον· ἀποχρῶν γὰρ ἦν καὶ ὁ τύπος,
95 τοῖς μὴ φαύλως αἱρουμένοις βιῶναι, τὴν τοῦ πικροῦ τῶν ψυχῶν
διώκτου ἀπαλλαγήν, καὶ τὴν τῆς παλαιᾶς κακίας ἀναίρεσιν
παρασχεῖν. Ἐνθέν τοι καὶ τὸ Πάσχα τελεῖν ἐδιδάσκοντο, πρὸς
ἑσπέραν ἤδη ἐπειγομένης τῆς τετάρτης καὶ δεκάτης τοῦ πρώτου
μηνός, ὃ δηλοῖ διάβασιν, ἢ ὑπερβασίαν, κατὰ τὸν Ἑβραῖον
100 Ἰώσηπον. Τὰ δὲ τῆς τελετῆς ταύτης ἦν, πρόβατον ἐνιαύσιον θύειν,
οὗ τὸ αἷμα, ταῖς φλοιαῖς χριόμενον, δηλαδὴ τῶν αἰσθήσεων,
ἀποσοβεῖ τὸν ὀλοθρεύειν εἰωθότα, τὰ τῆς ψυχῆς πρῶτα κινήματα,
τῇ φαντασίᾳ τῶν ἐπικαίρων πραγμάτων· αἱ δὲ σάρκες, πυρὶ τοῖς
ἐστιωμένοις ὀπτώμεναι, τὸ περὶ τὴν ἀρετὴν δήπου θερμὸν καὶ
M 235r 105 διάπυρον αὐτῶν κατεμήνυον· εἰ γὰρ μὴ ἔκκλισις τελέως γέ-‖νοιτο
τοῦ κακοῦ, καὶ τοῦ σκότου τῆς ἁμαρτίας ἀποφυγή, οὐκ ἂν ἡ τῆς

**ABCDGLMOVWZ**

---

**97-100.** Πάσχα-Ἰώσηπον] cf. Flav. Joseph., *Antiq. Jud.* Lib. 2, § 312-313, pp. 148.25-149.7

---

**91.** ὡς τὰ τῶν] ὡς τ(ῶν) τὰ sscr. τ(ῶν) Z — **92.** εἰς] om. Z — **95.** πικροῦ] ψυχροῦ Z — **98.** ἐπιγομένης A — καὶ] om. Z — **99.** ὑπερβασίαν] post cor. (ex ὑπέρ βασίαν) B — **100.** ἐνιαύσιον] ἐνιαύσιαι et sscr. ον (per ἐνιαύσιον) G — **101.** φλιαῖς BDMO: φλυαῖς W — **103.** post αἱ δὲ scr. et del. τέσσαρ L — σάρκαις W — **104.** post ἐστιωμένοις scr. et del. ἐσθι C — **105.** γένοιτο] γέγονε ACLZ

ἀρετῆς αὐγάσειε λαμπηδών. Τῇ ὑστεραίᾳ γε μήν, καὶ τὴν τῶν ἀζύμων οὔπω πρότερον τυπωθεῖσαν, ὁ νομοθετῶν ἐκέλευε προσίεσθαι ἐδωδήν. Ἀπείργων μὲν ἀτεχνῶς, καὶ τοῦ ἐγγύθεν αἰγυπτιακοῦ καὶ ἀθέου τῆς κακίας φυράματος, τῶν δ' ἀνηνεγμένων καὶ μὴ πάντῃ χαμερπῶν τὴν διάνοιαν, καὶ ἐπὶ τὴν ἀρχαίαν τῆς κακίας ῥίζαν ἀνάγων, ἐφ' ᾧ τῆς παλαιᾶς καὶ ὀξώδους καὶ νεκροποιοῦ ζύμης τὴν λώβην, περιελεῖν· ἣν ὁ τὸν πρῶτον ὑπελθὼν ἄνθρωπον ἰοβόλος δράκων, τῇ φύσει τῶν ἀνθρώπων ἐναπωμόρξατο, ἧς οὐκ εἰς ἡμέραν μόνον ἑβδόμην κατὰ τὸ τοῦ νόμου πρόχειρον ἀπειρήκει τὴν μετουσίαν —ποία γὰρ ὄνησις γένοιτ' ἄν, ἐν οὕτω βραχυτάτῳ καιρῷ, ταῖς φαύλαις τῶν πράξεων ἀποτάττεσθαι;— ἀλλὰ παρ' ἅπαντα, τὸν τῆς ζωῆς ἡμῶν δίαυλον, ᾧ γε δὴ συμπροϊοῦσα ἡ ἑβδομάς, ῥᾷστα τοῦτον μετρεῖσθαι δίδωσιν. Οὕτω μὲν οὖν ἡ τῶν ἀμφοτέρων τρόπων νομοθεσία, τυπικῆς οὐκ ἠμοίρει διδασκαλίας· ἡ μὲν γὰρ τοῦ ἀμνοῦ βρῶσις, τὸν ἐγγινόμενον τῇ ψυχῇ φωτισμὸν τοῦ ἀγαθοῦ Πνεύματος ὑπηνίττετο —οὕτω γάρ πως *θείας* γινόμεθα *κοινωνοὶ φύσεως*, Πέτρος φησί που ὁ μέγας—, ἡ δὲ τῶν ἀζύμων ἐπισίτισις, πρὸς τὰς

**ABCDGLMOVWZ**

---

**123.** θείας-φύσεως] 2 Petr. 1:4

---

**107.** αὐγάσιε GZ: scr. αὐγάσ(ιε) in marg. G — τῇ ὑστεραίᾳ] τῇ ὑστερέα ALW: τῇ στερεᾶ Z — **108.** οὔπω] οὕτω A — νομοθετῶν] μοθετῶν et νο sscr. (per νομοθετῶν) L — ἐκέλευε] ἐκέλευσε DG: ἐκέλευσε et σ cnc. (incl. in punc.) (per ἐκέλευε) W — **109.** μὲν] τὴν Z — καὶ] om. B — **110.** τῆς κακίας] om. Z — post ἀθέου sign. et τῆς κακίας deest in textu et scr. in marg. D — **112.** ἀρχαίαν] ἀρχέαν L — ἐφ ᾧ G: ἐφῷ BCLMOVWZ — **113.** λώβην] λύμην Z — ὁ τὸν] post cor. (ex. ὁ τῶν vel τῇ) Z — post πρῶτον scr. et cnc. (incl. in punc.) διελ (per διελθὼν) W — **115.** ἐναπομώρξατο V: ἀπωμόρξατο B: ἐν ἀπομώρξατο W — **115-116.** τοῦ νόμου] om. Z — **116.** ἀπειρήκει] post cor. (ex ἀπηρήκει) B — γαρ W — **118.** παράπαντα DG — **118-119.** ᾧ γε BW — **121.** ἠμοίρει] post cor. (ex ἠμείρει) W — ἡ μὲν] post cor. (ex ε‹ί› μὲν) L — **123.** ὑπενίττετο A — πως] om. G — post κοινωνοὶ ras. (2-3 litt.) M: κοινωνί(ας) OD — **124.** φησὶν AG — που] om. AG — ἐπισίτισις] post cor. (ex ἐπὶ πίστεϊ) Z

ἀμείνους ἡμᾶς ἐπαλείφει τῶν πράξεων, καὶ τῆς τῶν αἰσχίστων ποιεῖ παθῶν, ἀνεπιδέκτους σκαιότητος, ὅπως μὴ ἀνάξιοι, τῆς δωρεᾶς ὀφθείημεν, πλημμελῶς καὶ ἠμεληµένως βεβιωκότες· καὶ τὸ ὅλον εἰπεῖν, τῷ μὲν προτέρῳ τρόπῳ, *τὸ θεωρητικὸν* ἀνάπτει, τῷ δευτέρῳ δέ, *τὸ πρακτικὸν τῆς ψυχῆς* ἀνίστησιν. Ἀλλ' ἐπειδὴ νόμῳ παιδευθέντες, οὐκ ἐπεστράφημεν, καὶ προφητείαις ὁδηγηθέντες, οὐκ ἀνεκλήθημεν πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν —ἐκινδύνευε μέντοι τῇ τῆς ἡμετέρας ἀγνωμοσύνης περιουσίᾳ, φθορᾷ τὰ πάντα δοθῆναι, καὶ λυθῆναι σαφῶς τὰ ἀνθρώπινα, τῷ τῆς ἀρχαίας ζύμης δηλητηρίῳ, ἁπάντων τῶν τῆς ψυχῆς τῶν γε δὴ καιριωτέρων διεφθαρμένων μελῶν—, ὡς εἶδεν ἡ τοῦ Θεοῦ φιλανθρωπία, πρὸς τὴν τοῦ νόμου παιδείαν ἡμᾶς ἀπειρηκότας, καὶ πρὸς τὴν τῶν προφητῶν ὁδηγίαν ὀκλάσαντας, οὐ σκηπτοὺς κατήνεγκεν, οὐ τὴν ξηρὰν διέστησεν, οὐ τὴν ὑγρὰν ἐπαφῆκεν, οἷς δήπου πρώην ἐτιμωρεῖτο τοὺς ἀσεβοῦντας, ἀλλ' ἀγαθότητος περιουσίᾳ, τὸ
M 235v περιὸν τῆς ‖ ἡμῶν ἀγνωμοσύνης, πολλῷ τῷ μέσῳ νενίκηκεν. Ὁ γοῦν μονογενὴς τοῦ Θεοῦ Παῖς, τὴν ἡμετέραν φύσιν πόρρω ἀσεβείας ἐληλακυῖαν, ἰδών, καὶ δεινῷ πάθει κατ' οὐδὲν ἀποδέοντι

**ABCDGLMOVWZ**

---

**128-129.** τὸ θεωρητικὸν … τῆς ψυχῆς] cf. Ioh. Philop., *Arist.*, § 4, p. 520.25-26 — **141.** μονογενὴς-Παῖς] cf. Ioh. Chrys., *Genes.*, § 3, col. 72.5-6

---

**126.** ποιεῖ] ποιεῖσθαι W — **126.** παθῶν] om. G — ἀνεπιδέκτους] ἀν ἐπιδέκτους L — **127.** ἠμελημμένως A — **128.** το ὅλον CLMOV: post cor. (ex τὸ ὅλον) D — **130.** ἐπιστράφημεν L — προφητείας B — **134.** δηλιτηρίω BOZ — τῶν γε] τῶν τε G — **136.** νόμου] κόσμου W — **138.** δήπου] post cor. (ex που) Z — **140.** μέσω] μέσο et sscr. ω (per μέσω) L — **142.** ἀσεβείας] post cor. (ex ἀπ(έβαλλε)) B — **142.** κατουδὲν ACL

παραπληξίας ἁλοῦσαν, καὶ ἀναπλάσεως οὐκ ἰατρείας ἔτι δεομένην, τῶν πατρικῶν μὴ ἐκστὰς κόλπων, *εὐδοκίᾳ τοῦ ὁμοουσίου Πατρός, καὶ συνεργίᾳ τοῦ* ὁμοφυοῦς *Πνεύματος*, οὐ τόπων μεταβάσει, ἀλλ' οἰκονομίας συγκαταβάσει, ἡμῖν ἀτρέπτως ἐπιδημεῖ. Καὶ οὐχ ὡς ἄρα πρότερον, τὸ κρεῖττον ταῖς χείροσι τῶν ὑλῶν πιστεύει, ἵνα μὴ τὰ *ἄνω* αὖθις γένηται *κάτω*, τῆς ἀμφὶ τὴν τροπὴν τῶν κτιστῶν ἀταξίας, τὸ κατὰ φύσιν ληϊζομένης, τὰ τῆς χείρονος μέντοι μερίδος, ἀπειλικρινημένα κατάκρας τῆς κατὰ γνώμην κακίας ὥς γε εἶχε προτοῦ, φύσεως τῇ ἑαυτοῦ τροπῆς κρείττονι φύσει, ἑνοῖ καθ' ὑπόστασιν. Καὶ θεανδρικῶς ἡμῖν ὁμιλήσας ὁ τῇ φύσει ἀπρόσιτος, τὰ μὲν τῆς πονηρᾶς ζύμης, ὑπαναχωρεῖν ἐποίει καὶ ὑπεξίστασθαι, τά γε μὴν τῆς κρείττονος ἐλπίδος, μετ' ἐλευθερίας εἰσάγεσθαι.

**ABCDGLMOVWZ**

---

**144-145.** εὐδοκίᾳ-Πνεύματος] Ioh. Damasc., *Exp. fidei*, § 2.20-21, p. 9 — **148.** ἄνω-κάτω] Plutarch., *Apophthegmata Laconica*, 216b8; cf. Ioh. Chrys., *Act. Apost.*, § 4, col. 169.5-6

---

**143.** οὐκ ἰατρείας sign. sup. et scr. alt. man. οὐκ ἰατρεί(ας) in marg. G — **143-144.** ἔτι δεομένην] ἐπιδεομένην W — **144.** μὴ ἐκστάς κόλπων V: κόλπων αὐτοῦ μὴ ἐκστὰς Z — **145.** ὁμοουσίου] ὁμοσίου D — συνεργείᾳ ACLZ — πνεύματος] π(ατ)ρ(ό)ς G — **146.** ἀλλ'-συγκαταβάσει] om. BL — **147.** οὐχ ὡς] οὐχ' ὡς GW — τὸ κρεῖττον] om. Z — **149.** κτιστῶν] κτισμάτων A — **150.** ἀπειλικρινημένα] ἀπειλικρημένα LZ — **151.** ὥς γε εἶχε] ὥσχε L — προτοῦ] πρὸ τοῦ BDMOV — ante φύσεως scr. τῆς B — **152.** ἑνοῖ C — καθυπόστασιν BDO — **154.** ὑπαναχωρεῖν] ἐπαναχωρεῖν Z

**[24] Περὶ τῶν εὐεργετηθέντων, ἐν τοῖς τρισὶ τοῦ χρόνου μέρεσιν.**

Τριῶν μὲν οὖν τῶν μεγίστων ἕνεκα ταυτὶ πρυτανεύων ἦν, ὡς ἂν μηδένες τῶν ἐν ἑκάστῳ τῶν τριῶν τοῦ χρόνου μερῶν, τῆς κοινῆς καὶ ὑπὲρ ἔννοιαν ἀμοιρήσαιεν δωρεᾶς· οὐ γὰρ τοῖς μέν, τοῖς δ' οὔ, ἀλλὰ καὶ τοῖς ἔτι περιοῦσι, καὶ τοῖς ἤδη ἀπογενομένοις καὶ οἰχομένοις παρὰ τοὺς πλείους, καὶ τοῖς ἐπιγενομένοις ἡμῖν, φιλανθρώπως τὴν εὐεργεσίαν ἐξέτεινε, τοῖς μέν, τὴν εἰς τὰ κρείττω μεταβολήν, τοῖς δὲ, τὴν ἐλευθερίαν, τοῖς δέ, τὴν εἰς ἀφθαρσίαν εὐθὺς ἀναγέννησιν παρασχόμενος.

**ABCDGLMOVWZ**

---

**[24] Tit.** scr. περὶ τῶν εὐεργετηθέντων ἐν τοῖς τρισὶ τοῦ χρόνου μέρεσιν scr. in marg. BCDLMOVW: in textu A — **1.** ante Τριῶν sign. BCDM — πρυτανευων A — **3.** ἀμηρήσαιεν B: ἀμοιρήσαι W — οὔ BDOVWZ: οὖ post cor. (ex οὔ) G — **4-5.** καὶ οἰχομένοις-ἐπιγενομένοις] om. W — **7.** εἰς om. W — **8.** ευθὺς W — εὐθὺς ἀναγένησιν G: ἀναγέννησιν εὐθὺς Z — post ἀναγέννησιν scr. et del. τὸ ἐνεστὸς G

**[24.1] Τὸ ἐνεστός.**

Καὶ μέντοι τῶν ἔτι περιόντων καὶ διωμιληκότων αὐτῷ, οἷς μὲν τῶν καλλίστων ἔμελλε δήπου πράξεων, οὐ τὴν διὰ τῆς τοῦ νόμου ἐπιτηρήσεως, οὐδὲν ἀπεοικυῖαν τοῖς φρονήσεως ἐνδεῶς ἔχουσιν ἔτι, ἑτέραν γε μὴν ἐπιτομωτέραν τὴν πρὸς Θεὸν ἄγουσαν ἐπεδείκνυ, οὐχ' ἥκιστα τοῖς πρὸς φιλοσοφίαν ἀνηνεγμένοις συμβαίνουσαν, ἧς πάλαι διημαρτηκότες, τῷ πλάνῳ τῆς κακίας περιπεπτώκαμεν. Τῶν δὲ πονηρίᾳ συνεζηκότων, τελωνῶν φημι καὶ ληστῶν, καὶ τοιχορύχων, καὶ πόρνων, εἰσηγήσεσί τε καὶ παραινέσεσι, πρὸς τὸ βέλτιον τὰς ψυχὰς μετερρύθμισε, τοὺς παλαιοὺς ἀνανεούμενος χαρακτῆρας, οὓς ἐξαρχῆς ἡ φύσις
M 236r ἐνέθηκε, καὶ τοῦ βαράθρου ‖ τῆς κακίας ἀνιμησάμενος, τῆς τελεωτάτης ἀρετῆς ἐργάτας, ἀνέφηνε. Καὶ δι' ἐκείνων γε τῶν ὀλίγων οὓς αὐτὸς μετερρύθμισε, πᾶσαν τὴν οἰκουμένην ἀθρόως μετέβαλε. Καθάπερ ἄρα ἡ τῆς ζύμης φύσις, τὸ φύραμα, καὶ τὴν πάλαι ἐξεστηκόσι καὶ παραπαίουσιν ἐοικυῖαν, σώφρονα καὶ κοσμίαν ἀπέδειξεν.

**ABCDGLMOVWZ**

---

**[24.1] Tit.** scr. τὸ ἐνεστὸς in marg. ACGL: scr. τὸ ἐνεστὼς in marg. BDMOVW — μέντοι] μὲν τοί V — post ἔτι lac. (7-8 litt.) V — **2.** ἔμελε BO — **3.** τοῖς] τῆς et sscr. οἷς (per τοῖς) C: τῆς AZ — **4.** post ἔτι scr. et del. ἡμ (per ἡμετέραν) L — **5.** ἐπεδείκνυ] ὑπεδείκνυ BV — οὐχ' ἥκιστα GW: οὐχήκιστα VZ — πρὸς] om. A — **6.** συμβαίνουσαν] συνέβησαν Z — **7.** φημὶ GZ — **9.** μετερύθμησε G: μετερρύθμησε W — **10.** χαρακτῆρας] post cor. (ex χαρακτῆραν) M: χαρακτήρας Z — ἐξ ἀρχῆς ABGVW — **12.** γε] om. G — **13.** μετερρύθμησε BDM: μετερύθμησε GW — **16.** ἀπέδειξεν] ἀνέδειξεν G

**[24.1.1] Ὅπως ἐδείχθη τοῦ Θεοῦ, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, καὶ τὸ δυνατόν.**

Οὐ μήν, ἀλλὰ καὶ αὐτῷ τῷ καθαιρέτῃ τοῦ πλάσματος, δεξιῷ διακόνῳ ὡς ἄν τις φαίη πρὸς τὴν ἡμῶν ἀνάπλασιν, παραδόξως ἐχρήσατο. Καὶ γὰρ δὴ κἀνταῦθα θεωρητέον τὸ τῆς οἰκονομίας τοῦ Λόγου μετὰ τοῦ θαύματος χάριεν, ὅπως τὸ ἀγαθὸν ὁμοῦ καὶ σοφόν, δίκαιόν τε καὶ δυνατὸν δείκνυται.

**[24.1.1.1] Τὸ ἀγαθόν.**

Καὶ τὸ μὲν τῆς ἀγαθότητος, ὅτι μὴ τὸ οἰκεῖον ἠνέσχετο παριδεῖν πλάσμα, περιϋβριζόμενόν τε καὶ ἀπολλύμενον, συγκαταβάσει δὲ ἀπείρῳ χρησάμενος, ἀνεσώσατο.

**ABCDGLMOVWZ**

---

**[24.1.1] 1.** ante Οὐ μὴν scr. ση(μείωσαι) in marg. G — **2.** ὡς ἄν ABCDGLMOVW: ὡσάν Z — **3.** κἂν ταῦθα G — τὸ] τῷ G — post οἰκονομίας scr. μυστήριον· καὶ G — **4.** καὶ] om. Z — **5.** σοφὸν] om. Z

**[24.1.1.1] Tit.** scr. τὸ ἀγαθὸν in marg. ACGLMOVWZ: scr. et del. τὸ σοφὸν in marg. C — **1.** ante Καὶ τὸ sign. D: scr. ὅπως εδείχθη τοῦ θεοῦ τὸ ἀγαθὸν· τὸ σοφὸν· τὸ δίκαιον· καὶ τὸ δυνατὸν: in marg. BCDGLMOVW — **2.** περι ὑβριζόμενόν τε L: περὶ ὑβριζόμενόν τε G — **3.** ἀνεσώσατο] ἀνεστήσατο LZ

**[24.1.1.2] Τὸ σοφόν.**

Ἡ δέ γε *σοφία*, ὅτι ὃν κατὰ τῆς οἰκείας εἰκόνος εὗρε λυττήσαντα, διὰ τούτου τὴν σωτηρίαν παντὶ τῷ γένει ἐπραγματεύσατο, εἰς δέον τῇ ἐκείνου πονηρίᾳ χρησάμενος, καθάπερ οἱ ἰατροὶ ταῖς ἐχίδναις εἰς νοσημάτων ἀπαλλαγήν. Περὶ οὗ καί τινι τῶν θεοφόρων εἴρηται, ὅτι *τὸ κακόν, συνεργεῖ τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ*. Ταύτῃ τοι, οὐδὲ τοῦτον εἰσέτι νῦν ἦρεν ἐκ μέσου, ὑπόθεσιν ἀγώνων καὶ παλαισμάτων προκείμενον, ἑαυτὸν ὥσπερ ἐπίτηδες, εἰς ἀντιπάλου χώραν ἀποκληρώσαντα, ἵνα δείξῃ τοὺς ἀρίστους ἡ πάλη, γενομένους ἀνδραγαθίας ἀρχέτυπα, εἰ καὶ τὴν βιαίαν ἐκείνου διακωλύσας προσβολὴν τῇ τῶν ἀγγέλων φρουρᾷ, τὴν διὰ τῶν λογισμῶν συνεχώρησεν ἀγωνίαν.

**ABCDGLMOVWZ**

---

**[24.1.1.2] 1.** σοφία] cf. 1 Cor. 1:24; vide infra § **27.1**.15 — οἰκείας-εἰκόνος] cf. Gen. 1:26 — **5-6.** τὸ κακόν-καλῇ] Ps.-Macar./Symeon, *Sermones*, (Hom. 2), § 7.7-8, p. 19

---

**[24.1.1.2] Tit.** scr. τὸ σοφὸν in marg. ACDGLMOVZW — **1.** ὃν A — **5.** τὸ] om. G — **6.** καλῇ] post cor. (ex καλή) D — **7.** ἀγόνων G — **8.** χώραν] τάξιν BDGMOVW

**[24.1.1.3] Τὸ δίκαιον.**

Τὸν δὲ τοῦ δικαίου διεσώσατο λόγον, μὴ τυραννικῶς τὴν ἐλευθερίαν χαρισάμενος, οὓς ἐθελοντὰς ᾔδει τοῖς δαίμοσι καθυπείξαντας. Οὐδ' αὖ πάλιν ἀνθρώπου πάλαι τῇ ἥττῃ περιπεπτωκότος, ἑτέρῳ παρὰ τὸν ἄνθρωπον, ἀναμαχέσασθαι τὴν ἦτταν ἐπέτρεψεν. Ἀλλ' *ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος* κατὰ τὸ λόγιον, *καὶ δι' ἀνθρώπου πάντως ἀνάστασις νεκρῶν*, ἵν' ἐπειδὴ ἐλπίδι θεότητος ἡμᾶς κατεπάλαισε, σαρκὸς δελεασθείη προβλήματι.

**[24.1.1.4] Τὸ δυνατόν.**

Τῆς δ' αὖ γε κατὰ φύσιν ἰσχύος τεκμήριον, τὸ μὴ ἀδυνάτως σχεῖν, πρὸς τὴν τῆς ἰατρείας ἐκπλήρωσιν, μὴ δὲ πεπονθέναί τι τῶν θεραπείας ἀξίων, εἰ καὶ τὰς ἁμαρτίας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασεν, *ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου*, καὶ ταυτὶ μὲν τὸ τηνικαῦτα ‖ ἐνεστὼς ἐθεᾶτο τοῦ χρόνου. M 236v

**ABCDGLMOVWZ**

---

**[24.1.1.3] 5-6.** ἐπειδὴ-νεκρῶν] 1 Cor. 15:21

**[24.1.1.4] 4.** ὁ τὴν-κόσμου] Ioh. 1:29

---

**[24.1.1.3] Tit.** scr. τὸ δίκαιον in marg. ABCDGLMOVWZ — **2.** ᾔδει] ἤδη ADW — **3.** καθ' ὑπείξαντας G — τῇ ἥττῃ πάλαι ALZ — ἤττῃ B — **4.** παρὰ] om. G — ἀναμαχέσασθαι] post cor. (ex ἀναχέσασθαι et sscr. μα) D — **5.** ἦτταν B: ἥτταν Z — ἐπέτρεψεν] ἐπέστρεψεν L — **6.** πάντως] om. A — post πάντως scr. ἡ Z — post ἀνάστασις scr. τῶν Z

**[24.1.1.4] Tit.** scr. τὸ δυνατὸν in marg. ABCDGLMOVW — **2.** πεπονθέναί τι] πεπονθέν αἴ τϊ G — **3.** θεραπείας] post cor. (ex θεραπίας) L — ἀνέλαβε] post cor. (ex ἀνέβαλε) L — **5.** ἐνεστὸς AL: ἐνεστὼς et sscr. ο (per ἐνεστὸς) C — ἐθεᾶτο] ἐᾶτο D

**[24.2] Τὸ παρεληλυθός.**

Αἱ δὲ ἀπ' αἰῶνος τοῦ βίου ἀποφοιτήσασαι τῶν ἁγίων ψυχαί, τὴν ἐλευθερίαν ἐλάμβανον, τῷ *τοῦ ἑνὸς* κατὰ τοῦ τυραννοῦντος δικαιωθεῖσαι *δικαιώματι*, ὥσπερ ἄρα καὶ τῷ *τοῦ ἑνὸς* πάλαι κατεκρίθησαν *παραπτώματι*· ὥς που τὰ ἱερά φασι λόγια οὕτω καὶ οἱ ἐν τῷ παρεληλυθότι γενόμενοί τε καὶ ἀπογενόμενοι εὐηργέτηντο.

**ABCDGLMOVWZ**

---

**[24.2] 2-4.** τοῦ ἑνὸς-παραπτώματι] cf. Rom. 5:18

---

**[24.2] Tit.** scr. τὸ παρεληλυθὸς in marg. ABCDGLMOVWZ — **1.** Αἱ δὲ ἀπ' αἰῶνος] Αἱ δ' ἀπαιῶνος G: Οἱ δὲ ἀπ' αἰῶνος Z — **2.** τῷ] τὸ W — post τυραννοῦντος scr. et del. μέλ D — **3-4.** ὥσπερ-παραπτώματι] om. AZ — **4.** φασι] φησι AGLV: φησὶ Z — **5.** οἱ] sscr. L — post γενόμενοί τε sign. et scr. κ(αὶ) ἀπογενόμ(εν)οι in marg. W — τε] om. B — ἀπογενώμενοι G — **6.** εὐεργέτηντο et sscr. ηρ (per εὐηργέτηντο) C: εὐεργέτηντο ALZ

**[24.3] Τὸ μέλλον.**

Ἀλλὰ γὰρ οὐδὲ τοῖς εἰσέπειτα προμηθείας ἐφθόνησε, πάντα νοῦν κάτω τιθείσης. Κεχάρισται γοῦν καὶ ἡμῖν τότε εἰς ἀφθαρσίαν ἀναγεννᾶσθαι διὰ τοῦ θείου βαπτίσματος, καὶ τῆς ἀγήρω καὶ μακαρίας ὄντως κληρονομεῖν ζωῆς, καὶ εἰς τροφὴν τὴν ζωοποιὸν αὐτοῦ σάρκα προσιεμένοις, καὶ πόσιν τὸ ἐκ τῆς πλευρᾶς ῥυὲν αἷμα τίμιον. Οἷς ἑνούμενοί τε καὶ ἀνακιρνάμενοι, ὡς δή τι φύραμα εὐχρήστῳ ζύμῃ, εἰς ποικίλας πρότερον δόξας καὶ φαντασίας σκεδαννύμενοι καὶ διαχεόμενοι, μεταστοιχειούμεθα εἰς τὴν τοῦ Κυρίου τῆς θεότητος δόξαν τὲ καὶ λαμπρότητα ὡς αὐτὸς εἴρηκεν, *ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον*. Τοῦτο καὶ τὴν περὶ τὰ τικτόμενα στοργὴν τῶν μητέρων ἀπήλεγξεν· αἱ μέν, γὰρ τὴν θηλὴν αὐτοῖς ἐπορέγουσι, φυσικῶς τοῦ γάλακτος ἀναβλύζοντος, ὁ δὲ καὶ τῶν ἰδίων σαρκῶν, ἥκιστα κοινωνῶν ἡμῖν φείδεται· ζύμης γὰρ ἐδέησε τῷ ἀνθρωπίνῳ εἰς ἀνάπλασιν γένει, καὶ ἡ τῆς ζύμης ταύτης ἀθέτησις, τῆς τοῦ Λόγου σαρκώσεως ἄντικρυς εἰσάγει τὴν ἄρνησιν. Ἐπεί τοι γε καὶ ὁ Κύριος,

**ABCDGLMOVWZ**

---

**[24.3] 9-10.** ὁ τρώγων-αἰώνιον] Ioh. 6:54

---

**[24.3] Tit.** scr. τὸ μέλλον in marg. ABCDMOVLW — **1.** τοῖς] τῆς Z — post τοῖς scr. et del. εἰσέπειτα προμηθεί(ας) εἰς ἀφθαρσίαν ἀναγεννᾶσθαι dittography C — ἐφθόνησε] ἡμέλησε A — **4.** καὶ] om. BD — **5.** προσιεμένους BDGMOVW — πλευρὰς ABM — post πλευρᾶς scr. αὐτοῦ Z — **8.** μεταστοιχειούμεθα] post cor. (ex μεταστοιχείούμεθα) L — **9.** δόξαν τε MW — **11.** τ(ὴν)] sscr. V — **13.** ἀναβλίζοντος Z — δὲ] bis acc. W — ἥκιστα B — **14.** ἡμῖν] ἡμᾶς B — **15.** ἡ] om. L — **16.** ἄντικρὺς M — ἄρσιν] ἄρσιν G — ante Ἐπεί τοι sign. D: et scr. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐ(ραν)ών ζύμη ἣν λαβοῦσα γυνὴ (γυνῆ B) ἔκρυψεν εἰς:· in marg. BDCGLMVW

οὕτως ἑαυτὸν καλῶν δείκνυται· *ὁμοία γάρ ἐστι* φησὶν *ἡ βασιλεία τῶν οὐρανῶν, ζύμῃ, ἣν λαβοῦσα γυνή*, ἡ ἑκάστου τῶν πιστευόντων ψυχὴ δηλαδή, *ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία*, ἅπέρ εἰσιν αἱ τῆς ψυχῆς τρεῖς δυνάμεις· ἃς δεῖ ζυμοῦσθαι καὶ μεταποιεῖσθαι πρὸς τὸ θειότερον, ὑπὸ τοῦ εἰσοικισθέντος εἰς ἡμᾶς Θεοῦ Λόγου, εἴπερ ἐγνώκαμεν αὐτὸν οἰκοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, *εἰ μή τι ἄρα ἀδόκιμοι* ἐσμέν, ᾗ φησιν ὁ θεῖος Ἀπόστολος. Ἐπάγει δή, *ἕως οὗ ἐζυμώθη τὸ ὅλον*, τουτέστιν ἅπασα ἡ ἔνδον τῆς ψυχῆς διάπλασις· ἡ γὰρ βασιλεία τοῦ Θεοῦ, ζύμη τροπικῶς καὶ σπόρος ὠνόμασται, διὰ τὸ ζωτικὴν ἔχειν ταῦτα δύναμιν, κινητικὴν καὶ αὐξητικήν, καὶ τοῦ ὁμοίου γεννητικήν, ὥσπερ δήπουθεν τὸ ζύμης ἄμοιρον φύραμα, καὶ τῶν τοιῶνδε ποιοτήτων ἐστέρηται.

**ABCDGLMOVWZ**

---

**17-19.** ὁμοία-τρία] Matth. 13.33; cf. Leonem Achr., *Epist. de azym.,* col. 837.41-43; Eust. Nic., *Cont. Latin. et Azym.,* p. 120.26-29 — **22-23.** εἰ-ἀδόκιμοι] 2 Cor. 13:5 — **23-24.** ἕως-ὅλον] Matth. 13:33; cf. Cyrill. Alex., *Adorat.*, col. 1100.12-13; suum, *Comm. Ioh.,* Lib. IV, § 2, p. 535.13-15

---

**17.** γὰρ] om. W — ἐστι] post cor. (ex ἐστιν) Z — ἐστιν ἡ βασιλεία φησὶ W — **18.** πιστευόντων] πιστευσάντων A — **19.** ψυχη L — ἅπερ εἰσίν V: ἅπερ εἰσὶν GZ — **20.** δεῖ] post cor. (ex δὴ) AB: δὴ W — μεταποιεῖσθαι] μεταποιοῦσθαι Z — **21.** εἰσοικισθέντος] οἰκισθέντος Z — Θεοῦ] om. G — **22.** τι] τοι Z — **22-23.** ἄρα ἀδόκιμοι] ἄρα δόκιμοι A — **23.** φησὶν Z — δὴ] δὲ ALZ — **24.** ἐζυμώθη] ζυμώθη ACL: ζυμωθῆ Z — τὸ] om. ABLVWZ — τοῦ τέστ(ιν) BL — **25.** βασιλεία γὰρ ALZ — ὀνόμασται B — **26.** post δύναμιν sign. et κινητικὴν καὶ αὐξητικὴν, καὶ τοῦ ὁμοίου γεννητικὴν· om. in textu et scr. in marg. V — αὐξιτικὴν post cor. (ex αὐξιτικήν) W — **27.** post γεννητικήν scr. et del. κ(αὶ) αὐξητικήν L

**[25] Περὶ τοῦ θυομένου ἀμνοῦ.**

Ἀλλ' ἐπὶ τὴν τῆς Παλαιᾶς αὖθις ἐπανιτέον σκιαγραφίαν. Ὁ γοῦν
M 237r θεόπτης ‖ Μωσῆς, τὴν ἐπὶ τέλει τῶν αἰώνων ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων ἐλευθερίας προζωγραφῶν τοῦ Κυρίου σφαγήν, ἀμνὸν καταθύειν ἐκέλευε τοῦ ἡλίου, ὃς τὴν τεσσαρεσκαιδεκάτην τοῦ πρώτου φωτίζων ἦν ἡμέραν μηνός, ὑπὸ γῆν καταδύντος ἤδη· ὃ δὴ καὶ τὴν εἰς *Ἅιδου ταμεῖα* κάθοδον τοῦ τῆς *δικαιοσύνης ἡλίου* ἠνίττετο, καὶ τοῦτο Πάσχα ὠνόμασεν, οὐ τὴν τῶν ἀζύμων ἐδωδήν —πόθεν;— τῆς γὰρ ὑστεραίας, τούτοις ἐξῆν κεχρῆσθαι, ὡς αὐτός φησιν ἐν τῇ βίβλῳ τοῦ Λευϊτικοῦ, *ἐν τῷ πρώτῳ μηνὶ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός· ἀνὰ μέσον τῶν ἑσπερινῶν, Πάσχα τῷ Κυρίῳ· καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου, ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ*. Καὶ ἐν τῇ τῶν Ἀριθμῶν· *ἐν τῷ μηνὶ τῷ πρώτῳ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου, Πάσχα τῷ Κυρίῳ· καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου, ἑορτὴ τῷ Κυρίῳ, ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε*.

**ABCDGLMOVWZ**

---

**[25] 6.** Ἅιδου ταμεῖα] cf. Asterium Antioch., *Comm. Psalm.,* (Orat. 2), § 19, p. 12.17 — δικαιοσύνης ἡλίου] Mal. 3:20 — **9-12.** ἐν τῷ πρώτῳ-Κυρίῳ] Lev. 23:5-6 — **9-15.** ἐν τῷ πρώτῳ-ἔδεσθε] cf. Ps.-Athan. Alex., *De azymis* col. 1332.7-9; Ps.-Ioh. Damasc., *Azym.,* § 3, col. 396.15-19; Nicet. Steth., *Armen. et Latin.,* p. 147.3-15 — **12-15.** ἐν τῷ μηνὶ-ἔδεσθε] Num. 28:16-17

---

**[25] Tit.** scr. περὶ τοῦ θυομένου ἀμνοῦ·· in marg. ABCDGLMOVWZ — **1.** αὖθις] πάλιν et sscr. αὖθις C — **3.** post προζωγραφῶν scr. τ(ὴν) G — **4.** τεσσαρεσκαιδεκάτῃ] ιδ′ Z: — **5.** φωτίζων] post cor. (ex. φαωτίζων?) L — ἦν B — καταδῦντος GW — **7.** τοῦτο] post cor. (ex τούτο) L — ὀνόμασεν W — post ὠνόμασεν sign. in marg. A — **9.** πρώτῳ] α′ Z — **10.** τεσσαρεσκαιδεκάτῃ] ιδ′ Z — ἀναμέσον BGLWZ — **10-11.** ἀνὰ-μηνὸς] om. A — **11.** πεντεκαιδεκάτῃ] ιε′ Z — post Κυρίῳ scr. καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου, ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ dittography D — **13.** πρώτῳ] α′ AZ — τεσσαρεσκαιδεκάτῃ] ιδ′ ABCDGLMOWZ — **14.** πεντεκαιδεκάτῃ] ιε′ ABCDGLMOWZ — **15.** τούτου] om. ACLZ — ἔδεσθε CM

**[25.1]** ***Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.***

Ἰδεῖν ἐστι συμβαίνουσαν τῷ ῥηθέντι ἐπὶ τοῦ Κυρίου τύπῳ, καὶ τὴν τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου προφητείαν, *ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη λέγοντος, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ*· ὃν ὁ μέγας ὕστερον ἰδὼν Ἰωάννης, καὶ δεικνὺς τοῦτον εἶναι τὸν πάλαι προσδοκώμενον, *ἴδε* φησὶν *ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*. Οὐδαμοῦ δέ γε τὸ ἄζυμον εἰς τύπον τῆς τοῦ Κυρίου ἐλήφθη σαρκώσεως παρὰ τοῖς τοῦ Πνεύματος ὑποφήταις, τοῦ ζυμωθέντος ἀσυγχύτως ἐν τῇ γαστρὶ τῆς Πανάγνου, καὶ ὡς ἀμνοῦ βοσκηθέντος ἐν τῇ ταύτης νηδύι. Οὕτω μὲν οὖν ἀναγκαίαν ὁ λόγος ἀπέδειξεν, οἷα κἀν τῇ Παλαιᾷ, προχαραττομένην τὴν διὰ τῆς ἐνζύμου θυσίας, τοῦ ἀπὸ τῶν αἰώνων κεκρυμμένου καθ' ἡμᾶς μυστηρίου ἱερουργίαν.

**ABCDGLMOVWZ**

---

**[25.1] Tit.** Ὡς-ἤχθη] Is. 53:7 — ἴδε-Θεοῦ] Ioh. 1:29 — **2-4.** ὡς πρόβατον-αὐτοῦ] Is. 53:7 — **6-7.** ἴδε-κόσμου] Ioh. 1:29

---

**[25.1] Tit.** scr. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη:· in marg. BCDLMOVW — **1.** ἐστι συμβαίνουσαν] ἐπισυμβαίνουσαν A: ἐστῑ ἐπιβαίνουσαν L: ἐστὶν ἐπιβαίνουσαν Z — τὴν] om. Z — **2.** μεγαλοφωντάτου A: μεγαλοφωτάτου et sscr. νο (per μεγαλοφωνοτάτου) W — post προφητείαν sign. in marg. B — **2-3.** ἐπι σφαγὴν BZ — **4.** οὐκ ἀνοίγει] οὐκανοίγει G — **5.** ἰδὼν] om. W — καὶ] om. W — **6.** post προσδοκώμενον scr. ἴδε ὁ ἀμνὸς τοῦ θ(εο)ῦ ὁ αἴρων:· in marg. CDLMOVW — **11.** ] κἄν ABG: καὶ LZ

**[25.2]** ***Τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς.***

Διά τοι τοῦτο καὶ ὁ θεῖος Ἀπόστολος, *τὸ Πάσχα ἡμῶν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστός* φησι· ὅπερ γὰρ ὁ νόμος ἐν τῷ ἀμνῷ προεμήνυε, τοῦτο ἡ χάρις ἐν τῷ Χριστῷ ἐκπεπλήρωκε. Θυσία δὲ καὶ σφαγὴ ἐπὶ ἀψύχων καὶ νεκρῶν σωμάτων, ἥκιστά γε ἁρμόττει λέγεσθαι, οἷα δὴ καὶ τὰ ἄζυμα φύσεως ἔχουσιν.

**[26]** ***Μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ· ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην.***

Ὁπότε μέντοι καὶ αὐτὸν τὸν μέγαν Ἀπόστολον, οὕτω νομοθετεῖν ἰσχυρίζονται, ἐν τῇ πρὸς Κορινθίους γράφοντα πρώτῃ, καὶ ζύμην τῷ φυράματι κελεύοντα μὴ προσίεσθαι, μειρακιῶδες ἂν εἴη καὶ φρενὸς ἀπειροκάλου διερμηνεύειν πειρᾶσθαι, τὰ μὴ δὲ τοὺς παλαιοὺς διαφεύγοντα. Μικρά γε μὴν ἄττα πρὸς σαφήνειαν τῶν
M 237v θείων ῥημάτων λεκτέον. Ὁ γάρ τοι θεῖος Ἀπόστολος, τρο-‖πικῶς τὸν λόγον τῆς ἠθικῆς μεθοδεύων διδασκαλίας, καὶ πρὸς μὲν τὰς

**ABCDGLMOVWZ**

---

**[25.2] Tit**. et **2.** τὸ Πάσχα-Χριστὸς] 1 Cor. 5:7

**[26] Tit**. Μικρὰ- ζύμην] 1 Cor. 5:6-7

---

**[25.2] Tit.** scr. τὸ *πάσχα* ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη χ(ριστό)ς:· in marg. BCDLMOV — **2.** φησι et ν sscr. per φησιν C: φησιν ALZ: scr. φησιν in marg. V: φησὶν G — γὰρ] om. Z — **4.** καὶ] om. Z

**[26] Tit.** scr. μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ· ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην:· in marg. CDMOVLW — **1.** ante Ὁπότε sign. in marg. M — **2.** προς G — **3.** κελεύοντα μὴ προσίεσθαι] μὴ προσίεσθαι λέγοντα Z — προσίεσθαι] σίεσθαι et προ sscr. (per προσίεσθαι) W — **4.** μη V — **5.** παλαιοὺς] πολλοὺς BDGMOW: πολλὰς V — προς σαφήνειαν B — **6.** θείων] post cor. (ex. θείω et sscr. ν) L

ἀμείνους τῶν πράξεων ἑκάστους παρακαλῶν, τῶν χειρόνων δέ γε καὶ ἡντινοῦν παραινῶν μὴ προσίεσθαι, ἄριστα τῇ τῆς ζύμης εἰκόνι ἐχρήσατο. Τῆς γοῦν τοῦ πεπορνευκότος ἐκείνου ἐπιμιξίας, τοὺς Κορινθίους ἀπάγων, *οὐκ οἴδατε* φησίν, *ὅτι μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ;* Ὥσπερ γὰρ ἐκείνη καὶ βραχεῖα οὖσα, οὐ τῷ πολλῷ φυράματι κρυπτομένη ἀπόλλυται, οὐχ ἧττον γε μὴν πρὸς τὴν ἑαυτῆς ἕξιν ἐκεῖνο δήπου μεθίστησιν, οὕτως ἄρα καὶ ἡ κακία ἡμᾶς προσαναχρωννῦσα, ἐκεῖνον τῇ κοινωνίᾳ προσιεμένους, οὐχ οἷά τε μὴ καὶ τὰς τῆς ψυχῆς δυνάμεις, πρὸς τὴν αὐτῆς μεταθεῖναι διάθεσιν. Ἐπιμένων τοιγαροῦν τῇ μεταφορᾷ, *ἐκκαθάρατε* φησὶ *τὴν παλαιὰν ζύμην*, τὸν ἑσμὸν δηλαδὴ τῶν πολιορκούντων παθῶν τὴν κατάστασιν τῆς ψυχῆς, ἃ δὴ καὶ ἡ πάλαι παράβασις ἐπεισήγαγε. Καὶ οὐκ εἶπε «καθάρατε», ἀλλὰ μετὰ ἀκριβείας *ἐκκαθάρατε*, ὥστε μὴ δὲ σκιὰν μὴ δὲ λείψανον αὐτῆς ὑπολείπεσθαι —πάσης γὰρ πονηρίας ἀπηλλάχθαι δεῖ τὸν πιστόν, καὶ τὴν ψυχὴν γνησίως διερευνᾶσθαι, ὥστε πάντα λογισμὸν ἐκβάλλειν ἀκάθαρτον—, *ἵνα ἦτε νέον φύραμα καθὼς ἐστὲ ἄζυμοι*, φύραμα νέον καλῶν, τοὺς διὰ τῶν ἐντολῶν τῆς κατὰ Χριστόν

**ABCDGLMOVWZ**

---

**10.** τοῦ πεπορνευκότος-ἐπιμιξίας] cf. 1 Cor. 5:1 — **11-12.** οὐκ-ζυμοῖ] ] 1 Cor. 5:6 — **11- 17.** οὐκ οἴδατε-διάθεσιν] cf. Nicet. Steth., *Dial. de azym.,* p. 327.7-16 — **13-14.** πρὸς-ἕξιν] Ioh. Chrys., *Matth.* (Hom. 46), col. 478.39-40 — **17-18.** ἐκκαθάρατε-ζύμην] 1 Cor. 5:7 — **17-27.** ἐκκαθάρατε-Χριστός] cf. Nicet. Steth., *Dial. de azym.,* pp. 327.21-328.4 — **21.** ἐκκαθάρατε] 1 Cor. 5:7 — **24.** ἵνα-ἄζυμοι] 1 Cor. 5:7

---

**8.** γε] om. Z — **9.** ἡντινοῦν] ὡντινων οὖν et sscr. ὁ et νοῦν (per ὁντινοῦν) Z — παραινῶν] om. ACGLMWZ — **10.** πεπορνευκότος] post cor. (ex πορνευόντος et πε sscr.) W — **12.** οὐ τῷ] οὐτω L — **13.** ἀπόλλυται] ἀπόλυται A: ἀπόλυται et sscr. λ (per ἀπόλλυται) G — **14.** ἕξιν G — ἐκεῖνο] κἀκεῖνο BDGMOVW — ἡμᾶς] ὑμᾶς BDOV — post ἡμᾶς add. κ(αὶ) A — **16.** τ(ῆς)] sscr. B — **17.** φησὶν A — **18.** πολυορκούντων W — **20.** ἐπεισήγαγε] ἐπεισή-|γεγε L: ἐπισήγαγε W — καὶ] om. G — **21.** ὥστε] ὡς γε A — **23.** διερευνάσθαι L

φημι πολιτείας, καὶ σώματα καὶ ψυχὰς ἡγνισμένους. *Καὶ γὰρ τὸ Πάσχα ἡμῶν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστός*. Ἐξηγούμενος δὲ τουτὶ τὸ ῥητόν, ὁ τῶν τῆς ἐκκλησίας δογμάτων ὠκεανός, ὁ θεῖος φημὶ Χρυσόστομος, ὥσπερ ἐξεπίτηδες τοῖς ἑτέρως, ἢ ὡς ἡμεῖς φρονοῦσιν ἀπομαχόμενος, πρὸς πολλοῖς ἄλλοις, καὶ ταῦτα φησίν· *οὐκ εἶπεν ἀπέθανεν, ἀλλ' οἰκειότερον τῷ προκειμένῳ ἐτύθη· μὴ ζήτει τοίνυν ἄζυμα τοιαῦτα, ἐπειδὴ μὴ δὲ ἀμνὸν ἔχεις τοιοῦτον· ἐπειδὴ γὰρ ἦλθεν ἡ ἀλήθεια, οὐκέτι χώραν ἔχουσιν οἱ τύποι.* Ὁ μέντοι Ἀπόστολος, τὸ ἐκ τοῦ παραδείγματος δεικνὺς ἀλληγορούμενον πολλοῦ γε εἰπεῖν ἐδέησεν, «ὥστε ἑορτάζομεν ἐν ἀζύμῳ νέῳ φυράματι ἀλεύρου καὶ ὕδατος»· ἀλλ' *ὥστε ἑορτάζομεν, μὴ ἐν ζύμῃ παλαιᾷ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας*, καθαρᾶς δηλονότι πολιτείας καὶ ὀρθῆς πίστεως, καὶ οὐχ' ἡμερῶν περιόδοις, παρ' ἅπαντα δέ γε τὸν βίον, ἑορτάζειν προτρέπεται τὸν πιστὸν τῇ κλήσει τῆς ἑορτῆς, μηδεμίαν ἐμφήνας ὑπερβολὴν παραδέχεσθαι ‖ τὸ διαψιλὲς τῶν κεχορηγημένων ἡμῖν ἀγαθῶν. Προσέτι, καὶ τὸ δεῖν τὰ τῆς ἑορτῆς, τῷ πρέποντι μετιέναι τῶν ἀρίστων πράξεων, κόσμῳ, τὴν ὑπαρὰν

M 238r

**ABCDGLMOVWZ**

---

**26-27.** Καὶ γὰρ-Χριστός] 1 Cor. 5:7 — **31-32.** οὐκ εἶπεν-τοιοῦτον] Ioh. Chrys., *I Cor.*, § 4, col. 126.28-31 — **33.** ἐπειδὴ-τύποι] loc. cit., col. 126.18-19 — **36-38.** ὥστε-ἀληθείας] 1 Cor. 5:8 — **36-39.** ὥστε-πίστεως] cf. Nicet. Steth., *Dial. de azym.*, p. 328.4-8

---

**26.** φημὶ ABZ — ἡγνισμένους] ἡγνισμένας B — **28.** φημὶ] om. G: φησὶ Z — **29.** ἐξεπίτηδες] ἐξεπίδες M — **30.** φρονοῦσιν] φρονοῦμεν G — post πολλοῖς scr. et del. καὶ V — φησ(ίν) B: φησὶ D — **31.** οἰκειότερον] οἰκειώτερον W: οἰκειοτέρως G — ἐτύθη] post cor. (ex ἐτΐθη) W — **32.** ἐπειδὴ] ἐπεὶ G — μὴ] om. LZ — δὲ] om. Z — τοιοῦτ(ον) ‖ ἔχεις G — **33.** οὐκέτι] post cor. (ex οὐκ ἔτι) V: οὐκ ἔτι BGWZ — **33-34.** ἔχουσιν οἱ τύποι· ὁ μέντοι ἀπόστολος add. in marg. D — **34.** ἐκ] ἐν B — **36.** ὥστε] om. G — **37.** παλαιᾷ] παλαιᾶς V — **39.** παράπαντα G — δέ] om. Z — **40.** κλήσει] κλίσει A — **41.** μηδεμίαν] μὴ δὲ μίαν BOW: μὴ δε μίαν A — διαψιλὲς] διαψηλὲς W

τῆς ἁμαρτίας, περιδυόμενον στολήν, καὶ τὸ μὲν φύσει φαιδρὸν καὶ γεγαννωμένον τῆς ἀρετῆς περιτιθέμενον, τὸ δὲ στυγνὸν καὶ κατηφές, τῆς ἁμαρτίας ἀποτιθέμενον. Ταῦτα διὰ βραχέων ἡμῖν εἴρηται, τὸν σκοπὸν εἰς δύναμιν τοῦ Ἀποστόλου διεξεληλυθόσιν.

**[27] Περὶ τοῦ μυστικοῦ δείπνου.**

Οὐχ ἥκιστα μέντοι καὶ ἀπ' αὐτοῦ τοῦ καιροῦ καθ' ὃν τὰ μέγιστα τῶν θεωρημάτων ὁ Κύριος συνεδείπνει τοῖς μαθηταῖς, δῆλον ἂν γένοιτο, μηδαμῶς αὐτὸν ἀζύμου τηνικαῦτα τοῖς ἐν τέλει κεκοινωνηκέναι τῶν μαθητῶν. Ἀλλ' ἄνωθεν αὖθις καὶ τὰ τοῦ μυστηρίου τούτου θεωρητέον.

**ABCDGLMOVWZ**

---

**45.** γεγανωμένον BDOV — **45-46.** τὸ δὲ-ἀποτιθέμενον] om. BD — **46.** δια βραχέων B

**[27] Tit.** πε(ρὶ) τοῦ μυστικοῦ δείπνου in textu BCMOW: in marg. ADVL: om. GZ — **1.** Οὐχ' ἥκιστα G: Οὐχήκιστα MV — **3.** ante μηδαμῶς sign. in marg. A — **4.** κεκοινωνηκέναι] κεκοινωκέναι B — **5.** θεωρητέον] διαληπτέον G

**[27.1] Περὶ τοῦ Πάσχα.**

Τῇ μὲν ἕκτῃ τοῦ πρώτου μηνός, ὁ πρῶτος ἐκεῖνος ἄνθρωπος, χειρὶ Θεοῦ διεπλάττετο, ἡνίκα τὸ μεθ' ἡμέραν φῶς, πλεονεκτεῖν ὑπάρχεται τῆς νυκτός, πλησιφαὴς δὲ καὶ ὁ τῆς σελήνης κύκλος ἐτύγχανεν ὤν, μηδὲν ἐλλείπων λαμπρότητος· ἔδει γάρ, τοῦ ἀνθρώπου τὸ εἶναι λαμβάνοντος, οὗ φῶς ἐστι τὸ ἐπώνυμον, φωτὸς εἶναι τὰ πάντα πλήρη, καὶ μετὰ τοῦ προσήκοντος κόσμου δορυφορεῖν, τὸν δι' ὃν ταῦτα προδεδημιούργητο τῇ δέ γε ἑβδόμῃ. Ἀποχρῶν ἦν ἄρα εἰς εὐδοξίαν, τὸ εὐλογηθῆναι μόνον παρὰ Θεοῦ. Ἡ δὴ καὶ προσωνυμίαν εἴληφε τὴν ἀνάπαυσιν, μηδενὸς ἐν αὐτῇ καινοῦ γεγονότος. Ὁ δὴ τῶν ὅλων Δημιουργός, δεινὸν ἡγησάμενος, εἰ τοσοῦτον ἔργον τῶν ἰδίων αὐτοῦ χειρῶν ζημιωθείη τὸν ἄνθρωπον, ἀνηκέστοις ἁλόντα πάθεσιν —ἵνα τὰ ἐν μέσῳ παρῶ—, μὴ δ' ἂν ἑτέρῳ μᾶλλον αὐτοῦ προσήκειν ἀξιώσας, ἀμφὶ τὴν ἐκείνου σωτηρίαν, μηχανῇ τῇ καλλίστῃ χρήσασθαι, καθ' ὃν ᾔδει καιρὸν ἐπιτήδειον, ἡ πάντα νοῦν ὑπερέχουσα τούτου *σοφία*, ἐπιτηρήσας ἐνιαυτόν, ἐν ᾧ δήπου συνέβαινε τῇ κατὰ τὸ νομικὸν ἑβδομάδι

**ABCDGLMOVWZ**

---

**4-5.** τοῦ-ἐπώνυμον] cf. Clem. Alex., *Paed.* (Lib. I), § 6, col. 284.16-17 — **15.** σοφία] cf. 1 Cor. 1:24; vide supra § **24.1.1.2.**1

---

**[27.1] Tit.** scr. πε(ρὶ) τοῦ *πάσχα* in marg. BCDGLMOVW: in textu A: et alt. man. scr. in marg. C — **2.** μεθ' ἡμέραν] μεθημέραν BOV: μεθ' ἡμέρας O — **3.** ante πλησιφαὴς sign. in marg. A — **4.** ὤν BDOV — μηδὲν] post cor. (ex μὴ δὲν) L: μὴ δὲν B — **5.** ἀνθρώπου] οὐ(ραν)οῦ sscr. sign. et scr. in marg. εἶμαι (vel. οἶμαι?) τοῦ ἀν(θρώπ)ου ὠφείλει γράφεσθαι Z — φῶς G — **6.** κόσμου] κόσμω L — **7.** δωρυφορεῖν BZ: δοροφορεῖν W — **8.** ἄρα L — **9.** ἢ BL — εἴληφε] ἔλαβε et sscr. εἴληφε C — **10.** τῶν ὅλων] τὸν ὅλον W — **11.** εἰ τοσοῦτον] εἰς τοσοῦτον AGL: εἰ τὸ σοῦτον Z — ἔργον] ἔργων et sscr. o per ἔργον C — **12.** ἁλῶντα BDOV — **12-13.** μὴ δ' ἂν] μηδ' ἂν V: μηδ' ἂν bis acc. GW — **13.** ἀξιώσας] ἀπαξιώσας D — post ἀξιώσας alt. man. scr. ἡ ἀμφὶ κ(αὶ) ἡ περὶ, τὸ αὐτὸν σημαίν(ει) in marg. O — **14.** ᾔδει] post cor. (ex ᾔδη) W — **15.** ἐπιτήδιον B — ἐπιτηρίσας B

Πάσχα, ἅπαντα τὰ τῆς πρώτης δημιουργίας *ὡς ἐκ συνθήματος* συνδραμεῖν αὖθις, τὴν ἰσημερίαν, τὴν τῶν ἡμερῶν ἕκτην, καὶ τὸ τῆς σελήνης πλησιφαές· οὐ γὰρ ἐκάστοτε συμπίπτειν. Οὕτω γε ταῦτα εἰώθει. Τηνικαῦτα δή, ἑαυτὸν ἐπιδίδωσι τοῖς τὸν ἐκείνου θάνατον ἐπισπεύδουσιν· αὐτὸς γὰρ ἦν ὁ ταμίας τῶν ἐν αὐτῷ οἰκονομουμένων. Διατοῦτο καὶ εἶπε, *Πάτερ ἐλήλυθεν ἡ ὥρα*· ἵν' ἐν ᾗ γέγονεν ἡ πρώτη τοῦ ἀνθρώπου πλάσις, ἐν ταύτῃ καὶ ἡ ἀνάπλασις γένηται, κἀν τῇ σκιαγραφίᾳ τοῦ νομικοῦ, ἡ τοῦ
M 238v ἀληθινοῦ Πάσχα τελείωσις ‖ ἐπανθήσῃ, καὶ ἡ ἐκ τῆς πλευρᾶς τῆς κακίας ἀρχή, καὶ τοῦ ὅλου γένους πληγή, τῷ τῆς πλευρᾶς ἰαθῇ τραύματι. Καὶ ᾗ ὥρα τῆς πατρικῆς ἑστίας ἐξώσθημεν, αὖθις αὐτῆς ἐπιβῶμεν, τοῦ τοιχορύχου τὰς πύλας αὐτῆς ἐν ἀκαρεὶ τοῦ χρόνου εὐσεβῶς διορύξαντός τε πρώτου καὶ ὑπανοίξαντος. Κύκλος δὲ τῳτότε ἠνύετο, ἵνα μὴ δὲ τοῦτο ᾖ τοῖς πολλοῖς ἀγνοούμενον, τῷ μὲν ἡλίῳ, τρίτος καὶ εἰκοστός, τῇ δέ γε σελήνῃ, δέκατος, ἔτους ἐνισταμένου, ἐνάτου καὶ τριακοστοῦ, πρὸς τῷ πεντακισχιλιοστῷ πεντακοσιοστῷ.

**ABCDGLMOVWZ**

---

**22.** Πάτερ-ὥρα] Ioh. 17:1

---

**17.** πρώτης] α′ Z — **18.** ἕκτην] ἕκτη Z: στ′ L — **19.** οὕτω] om. LZ — γε] om. A — **19-20.** γε ταῦτα] ταῦτα γε LZ — **20.** ἐπιδίδωσι] δίδωσι G — **21.** ἦν] om. Z — ταμίας] post cor. (ex ταμείας) B: ταμεί(ας) G — **23.** πρώτη] α′ Z — **24.** κἀν] κἂν G: καὶ LZ — σκιαγραφίᾳ in ras. O — **25.** ἐπανθήσῃ] ἐπανθήσει et sscr. η per ἐπανθήση Z: ἐπανθήσει GW — post πλευρᾶς sign. et om. in textu τ(ῆς) κακί(ας) ἀρχὴ. κ(αὶ) τοῦ ὅλου γέν(ους) πληγὴ τῶ τῆς πλευρᾶς scr. in marg. O — **27.** ἑστίας BGL — **28.** του G — τοιχωρύχου BDOVZ — αὐτῆς] αὐτοῖς Z — ἀκαρεὶ] ἀκαρεῖ BDOZ: post cor. (ex ἐν ἀκρεῖ) L — **29.** διορύξαντός] διωρύξαντός Z — **30.** τῳτότε] τω τοτε D: τῶ τότε ABGLW: τότε Z — ἠνύετο] post cor. (ex ἡνύετο) W — **31.** τρίτος καὶ εἰκοστὸς] γ′ καὶ κ′ Z — γε] sscr. Z — (σελήνη) DO — **32.** ἐννάτου GZ — τριακοστοῦ] λ′ Z — **33.** πεντακισχιλιοστῷ πεντακοσιοστῷ] ,εφ′ Z

**[27.2]** ***Καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν.***

Ὅτι δὲ τὸ τῶν Ἰουδαίων Πάσχα τῇ τῆς Παρασκευῆς ἑσπέρᾳ τελεῖσθαι ἔμελλεν, ἐξ ὧν τὰ ἱερὰ γράφουσιν εὐαγγέλια δῆλον, ὅτι *καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα*. Εἰ δὲ δὴ ὁ τῶν ἀζύμων οὔπω ἐφειστήκει καιρός, ἡνίκα ὁ μυστικὸς ἐτελεῖτο δεῖπνος —ὅτε γὰρ τὴν ἐκείνων ἑορτὴν ἦγον τῆς ἐπιούσης οἱ Ἰουδαῖοι, ὁ Κύριος ἐν τοῖς τοῦ Ἅιδου ἐπιχωριάζων ἦν, κατατρέχων ταῦτα καὶ ληιζόμενος—, πότε τοῦ ἀζύμου τοῖς μαθηταῖς κεκοινώνηκεν; Ὅτε γὰρ κατὰ τὸν προφήτην *εἰς* τὸ τοῦ σταυροῦ *ὕψος* ἀναβεβήκει, σωτηρίως ἀντηχμαλώτευσε, τὴν ὑπὸ γῆν φρουρουμένην *αἰχμαλωσίαν*· ὃ καὶ παράδοξον. Ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος τὸ εὐαγγελικὸν τοῦτο ῥητὸν ἐξηγούμενος, *πρὸ μιᾶς* φησὶν *ἡμέρας ὁ Κύριος τὸ Πάσχα τὸ οἰκεῖον παρέδωκε, τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ Παρασκευῇ ὅτε καὶ τὸ παλαιὸν ἐγίνετο Πάσχα*.

**ABCDGLMOVWZ**

---

**[27.2] Tit.** Καὶ αὐτοὶ-μιανθῶσιν] Ioh. 18:28; cf. Ps.-Athan. Alex., *De azymis,* col. 1329.41-43 — **3-4.** καὶ-Πάσχα] Ioh. 18:28 — **9.** εἰς- ἀντηχμαλώτευσε] cf. Ps. 67:19 — **12-14.** πρὸ-Πάσχα] Ioh. Chrys., *Iohan.* (Hom. 83), § 3, col. 452.3-4

---

**[27.2] Tit.** scr. καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον (πραιτόριον BL) ἵνα μὴ in marg. BCDLMOVW — **1.** ante Ὅτι δὲ sign. in marg. A — Ὅτι] Ἔτι G — post τὸ scr. et del. ἅγιον L — ἑσπέρα] ἡμέρα Z — **2.** ἱερὰ L — **3.** κ(αὶ)] sscr. W — αὐτοὶ] post cor. (ex αὐτὴ) W — πραιτώριον] post cor. (ex πραιτόριον) B: πραιτόριον L — **4.** φάγωσι] post cor. (ex φάγωσιν et ν eras.) W — **5.** δεῖπνος ἐτελεῖτο per sscr. β′ et α′ Z — **6.** ἐπιούσις B — οἱ] om. ACLZ — ιουδαῖοι D — ὶο ἰουδαῖοι laps. cal. B — ἅδου ABCDGLMOVW: ᾅδου Z — **8.** μαθηταῖς] om. L — **9.** ἀντηχμαλώτευσε] ἀντ' ἠχμαλώτισε G — **12.** προ μιᾶς LZ — φησιν ABDLMOVZ — **5.** τὸ πάσχα] om. Z — **13.** post παρασκευῇ sign. et om. in textu ὅτε καὶ τὸ παλαιὸν ἐγίνετο Πάσχα scr. in marg. V — **14.** ἐγίνετο] ἐγένετο G

**[27.3]** ***Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταί.***

Ὁ γοῦν ἄριστος τῶν εὐαγγελιστῶν Ματθαῖος, *τῇ δὲ πρώτῃ* φησὶ *τῶν ἀζύμων*, ἤτοι τῇ πρὸ τῶν ἀζύμων, ἥτις ἦν ἡ τῆς ἑβδομάδος Πέμπτη, ἣν δὴ καὶ ὁ Ἰωάννης *πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα* καλεῖ, ἐν ᾗ μετὰ τὸ δεῖπνον τὸ τοῦ νιπτῆρος ὑπερφυὲς ἐτελεῖτο μυστήριον. Οὗτος οὖν ὁ Ματθαῖος, προσίασιν *οἱ μαθηταί* φησι *τῷ Ἰησοῦ*, πυνθανόμενοι, *ποῦ* ἂν βούλοιτο, *τὸ Πάσχά* οἱ ἑτοιμάσαι· καὶ λαβόντων τὸ σύνθημα καὶ ἑτοιμασάντων, παρῆν ὀψὲ τῆς ἡμέρας αὐτῆς, καθ' ἣν εἶχεν ἡ σελήνη τρισκαιδεκάτην, καὶ ἀνέκειτο μετὰ τῶν μαθητῶν.

**ABCDGLMOVWZ**

---

**[27.3] Tit.** Τῇ δὲ-μαθηταί] Matth. 26:17 — **1-2.**τῇ δὲ-ἀζύμων] Matth. 26:17 — **1-6.** τῇ δὲ-ἑτοιμάσαι] cf. Leonem Achr., *Epist. de azym.*, col. 836.17-19 — **3.** πρὸ-Πάσχα] Ioh. 13:1 — **5-6.** οἱ μαθηταί-Πάσχά] Matth. 26:17

---

**[27.3] Tit.** scr. τῇ δὲ πρώτῃ (α′ W) τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ (προσῆλθον-μαθηταὶ] om. G) in marg. CDGLMOVW — **1.** ante Ὁ γοῦν sign. in marg. D — πρώτῃ] α′ Z — φησὶ] om. B: φησὶν L — **2.** ἤτοι-ἀζύμων] om. BW — **3.** Πέμπτη] ε′ Z — **4.** τὸ δεῖπνον τὸ] τὸν δεῖπνον τὸν Z — **5.** φησι] post cor. (ex φησιν) W: φησ(ὶν) B — **6.** τὸ πάσχα] τῶ πάσχα MW: τὸ πάσχά OZ — οἱ] om. B: οι G — **8.** (σελήνη) D

**[28] Ὅτι οὐ καλῶς στοχάζονται οἵτινες οἴονται πρῶτον τὸ νομικὸν τελέσαι Πάσχα τὸν Κύριον.**

Εἰσὶ μὲν οὖν οἳ στοχαζόμενοι φασίν —οὐδὲ γὰρ ὁ εὐαγγελιστὴς ἔσθ' ὅπῃ τοῦτο ἐπισημαινόμενος δείκνυται—, πρῶτον τὸ νομικὸν ἐκείνους ἑστῶτας Πάσχα φαγεῖν —τοῦτο γὰρ ὁ νόμος ἐκέλευε—, μετὰ δέ γε τοῦτο, καθῆστο μὲν ὁ Ἰησοῦς, καθῆντο δὲ καὶ οἱ ἄκροι τῶν μαθητῶν, τοῖς αἰσθητοῖς τοῦ ἱεροῦ δείπνου συμβόλοις, τὰ μεγάλα μυούμενοι. Τοῦτο δέ, οὐχ οἷόν τε, μὴ τοῦ εἰκότος γε
M 239r διαπίπτειν λόγου· εἰ γὰρ δὴ ‖ πρὶν ἢ τὸν νενομισμένον ἐφεστηκέναι καιρόν, τὸ Πάσχα τελέσας ὁ Χριστὸς πεφώρατο, οὐ παρανομίας ἂν καὶ τῆς ἐσχάτης αὐτὸν ἐγράψαντο οἱ καὶ τὰ ψευδῆ κατ' αὐτοῦ συνείρειν μὴ παραιτούμενοι; Τί γὰρ ἔδει τύπου, τῆς ἀληθείας ἐλθούσης; Τί δὲ τῆς σκιᾶς, τῶν πραγμάτων ἐπιδεδημηκότων; Τί δὲ ἀλόγου ἀμνοῦ, τοῦ τῆς ἀλογίας ἡμᾶς ἀπαλλάξαντος ἱερείου ἀντεισαχθέντος; Ὥστε οὐκ ἔφθη τὸ νομικὸν βεβρωκὼς Πάσχα κατ' ἐκεῖνο τοῦ καιροῦ, εἰ καὶ ἐν τοῖς πρὸ τοῦ χρόνοις, ὡς ἔθος τοῦτο πληρῶν ἐτύγχανεν, ὡς ἂν καὶ

**ABCDGLMOVWZ**

---

**[28] 13-16.** Ὥστε-ἀντίθεος] cf. Leonem Achr., *Epist. de azym.*, col. 836.10-14

---

**[28] Tit.** scr. ὅτι οὐ καλῶς στοχάζονται οἵτινες οἴονται πρῶτον τὸ νομικὸν τελέσαι πάσχα τὸν κ(ύριο)ν in marg. DGLMOVW: in textu A — **1.** ante Εἰσὶ sign. BD — στοχαζόμενοι in ras. O — **2.** ἐπισημαινόμενος τοῦτο Z — **3.** ἐκείνους] ἐκείνο Z: — πάσχα ἐκείνους ἑστῶτας φαγεῖν B: ἐκείνους πάσχα ἑστῶτας φαγεῖν G — **4.** οἱ] sscr. W — **5.** post ἱεροῦ scr. et del. πάσχα D — δείπνου] δείπνον L — συμβόλοις] om. Z — **6.** εἰκότως Z — **7.** τὸν] τὸ et sscr. ν (per τὸν) C — ἐφεστηκαίναι D — **9.** οἵ L — **10.** παραιτούμενοι] παραιτούμενος L — post παραιτούμενοι scr. ση(μείωσαι) in marg. G — **12.** ἀλόγου] λόγου B — **13.** ἀντεισαχθέντος] post cor. (ex ἀντισαχθέντος) W — βεβρωκὸς L — **13-14.** πάσχα κατ' ἐκεῖνο τοῦ καιροῦ βεβρωκὼς Z — **14.** τοῦ] om. G — **15.** προ τοῦ GZ — τοῦτο] om. Z

τὰς λοιπὰς τοῦ νόμου ἐπιτηρήσεις, τῷ μὴ δοκεῖν εἶναι ἀντίθεος. Εἰ δὲ καὶ τὸ τυπικόν, πρό γε τοῦ ἀληθινοῦ, ὄρθιος ἐβεβρώκει, ὅπερ οὐδὲ δίδωσι τὸ εἰκός, ἀλλ' οὐ τὸ χρόνῳ παλαιωθὲν ἐκεῖνο.

**[28.1]** ***Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.***

*Τοῦτο* δὲ εἶπε τὸ καινὸν, *εἰς τὴν ἐμὴν ποιεῖτε ἀνάμνησιν*. Καὶ φησὶν ὁ θεῖος ἐπὶ τοῦτο Χρυσόστομος· *εἶδες πῶς ἐξάγει τῶν Ἰουδαϊκῶν καὶ ἀφίστησι; Διατοῦτο εἶπε, «τοῦτο ποιεῖτε», ἵν' ἐκείνου ἀπαγάγῃ· εἰ γὰρ τοῦτο ἄφεσιν ἁμαρτιῶν ἐργάζεται, περιττὸν ἐκεῖνο λοιπόν*.

**ABCDGLMOVWZ**

---

**[28.1] Tit.** Τοῦτο-ἀνάμνησιν] Luc. 22:19, 1 Cor. 11:24 — **1-3.** Τοῦτο-ἀφίστησι] Ioh. Chrys., *Matth.* (Hom. 82), § 1, col. 739.2-3 — **3-4.** Διατοῦτο-λοιπόν] loc. cit., § 1, col. 739.25-27 — **3.** τοῦτο ποιεῖτε] Luc. 22:19, 1 Cor. 11:24

---

**17.** τυπικόν] τοπικὸν B — τυπικόν illeg. W — **18.** οὐδὲ] οὐ BDGMOVW — ἀλλ' οὐ τὸ]ἀλλ' οὐ τῷ A: ἀλλ οὐ τῷ W: ἀλλὰ τῷ G — ἐκείνο G

**[28.1] Tit.** scr. τοῦτο ποιεῖτε εἰς τὴν ἐμήν ἀνάμνησιν in marg. CLMOVW — **2.** τοῦτο] τούτω GZ — ἰουδαϊκῶν in ras. B: ἰουδαϊκῶν post cor. (ex ἰουδαϊων) W — **3.** διὰ τοῦτο G — ἵν ἐκείνου B: ἵνα ἐκεῖνο G — **4.** ἁμαρτιῶν] ἁμαρτῶν L

**[28.2]** ***Καὶ λαβὼν*** **τὸν** ***ἄρτον ἔκλασε.***

*Λαβὼν* γάρ φησι τὸν *ἄρτον* καὶ *εὐχαριστήσας, ἔκλασε· καὶ ἔδωκε τοῖς* μαθηταῖς *λέγων*, «*λάβετε, φάγετε*», *τοῦτο ἐστὶ τὸ σῶμα μου*. Ἄρτον τοίνυν, οὐκ ἄζυμον τὸ οἰκεῖον σῶμα καλεῖ, ὡς ζωτικὸν καὶ κινητικόν, καὶ θέρμην ἐνιέναι φύσεως ἱκανῶς ἔχον, οἷς ἂν προσγένοιτο· ἄρτος γὰρ κυρίως ἂν λέγοιτο, ὁ ἄρτιος, καὶ μὴ ἐλλιπῶς ἔχων, ὃς καὶ παρὰ τὸ αἴρειν, καὶ πρὸς τὰ ἄνω φέρειν λεχθείη ἄν, πρός γε τῆς ζύμης καὶ τῶν ἁλῶν, τὴν θερμότητα, καὶ τὴν ἔπαρσιν ἔχων. Τὰ δέ γε ἄζυμα, οὐδὲν διενήνοχεν, ἀψύχου λίθου καὶ πλίνθου, τῇ γῇ προσκολλώμενα, διὰ τὴν φυσικὴν πρὸς τὰ κάτω φοράν. Καὶ αὖθις, *τοῦτό ἐστι τὸ σῶμα μου* τὸ τῆς *καινῆς διαθήκης*. Καινὴν εἰπών, τὴν πνευματικοὺς ἡμᾶς ἐργαζομένην, τὴν παλαιὰν πάντως ἐκβέβληκε· *τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ*, κατὰ τὴν ψῆφον εἰπεῖν τοῦ Ἀποστόλου.

**ABCDGLMOVWZ**

---

**[28.2] Tit.** Καὶ-ἔκλασε] Luc. 22:19 — **1.** Λαβὼν-ἔκλασε] cf. Ps.-Ioh. Damasc., Azym., § 3, col. 393. 49 — **1-2.** Λαβὼν-μου] Luc. 22:19 — **2.** *λάβετε φάγετε*] Matth. 26:26 — **5-10.** ἄρτος-φοράν] cf. Nicet. Steth., *Dial. de azym.,* p. 324.11-15; suum, *Armen. et Latin.,* p. 142.2-5; Leonem Achr., *Epist. de azym.,* col. 837.18-24; Ps.-Ioh. Damasc., Azym., § 1, 389.24-28 — **10.** τοῦτό-μου] Matth. 26:26, Marc. 14:22, Luc. 22:19, — **10-11.**καινῆς-διαθήκης] cf. Luc. 22:20, 1 Cor. 11:25 — **12-13.** τὸ δὲ-ἀφανισμοῦ] Heb. 8:13

---

**[28.2] Tit.** scr. καὶ λαβών τὸν ἄρτον ἔκλασε in marg. BCMOVW — **1.** φησὶ Z — **2.** post μαθηταῖς scr. αὐτοῦ Z — *λάβετε*] post cor. (ex *λάβεται*) L — σώμα Z — **4.** φύσεως] φυσικῶς B — **5.** γὰρ] δὲ Z — **6.** ἐλλιπῶς] ἐλειπῶς et *λ* sscr. (per ἐλλειπῶς) Z — ἔχον M — **7.** ἄν BDMOV — ἁλῶν] ἀλῶν L: ἁλλῶν Z — **9.** πλίνθου] post cor. (ex πλείνθου) Z — προσκολλόμενα DMOW: προσκωλλώμενα L — *πρὸς*] illeg. Z — **10.** τοῦτο ἐστί A — σώμα Z — **11.** καινὴν] καὶ νῦν L: καὶ ν(ὴν) G — εἰπῶν L

**[28.3] Καὶ *βάψας τὸ ψωμίον* ὁ Ἰησοῦς, *δίδωσι* τῷ *Ἰούδᾳ*.**

Ὁ δὲ τῆς βροντῆς υἱός, ἐναργέστερον δεῖξαι βουληθείς, ἔνζυμον εἶναι τὸν ἄρτον ἐκεῖνον, *πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα* φησί, τοῦ *δείπνου* γεγονότος, *βάψας τὸ ψωμίον* ὁ Ἰησοῦς, *δίδωσι* τῷ *Ἰούδᾳ*, *καὶ μετὰ τὸ ψωμίον, εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς*, οὐ τοῦ σώματος καταφρονῶν τοῦ δεσποτικοῦ, ἀλλὰ τῆς ἀναισχυντίας καταγελῶν τοῦ προδότου· οἱ γὰρ πονηρίαις ἐντεθραμμένοι, καὶ τοῖς μυστηρίοις ἰταμώτερον προσιόντες, οὐδέν τι πλέον ἀπώνανται. Μανικώτερον τοῦ ἐχθροῦ κατ᾽ αὐτοῦ λυσσῶντος ἄρα
M 239v καὶ πνέοντος, ‖ καὶ τὰ μὴ καθαρὰ γὰρ τῶν σωμάτων, καί γε τροφῇ κεχρημένα χρηστῇ, σφοδρότερον ὁ πυρετὸς ἀνακάει καὶ δαπανᾷ, εἰ βούλει δὲ καὶ τὰς ἀμβλυωττούσας τῶν ὄψεων, ὁ πᾶσιν ἡδὺς ἰδεῖν ἥλιος ἐπιλάμπων, καὶ τῆς μετρίας αὐγῆς ἀφαιρεῖται.

**ABCDGLMOVWZ**

---

**[28.3] Tit.** Καὶ-Ἰούδᾳ] Ioh. 13:26 — **1-4.** Ὁ δὲ-σατανᾶς] cf. Ps.-Athan. Alex., *De azymis* col. 1329.3-9 — **2.** πρὸ-Πάσχα] Ioh. 13:1 — **3.** βάψας-Ἰούδᾳ] Ioh. 13:26 — **4.** καὶ-σατανᾶς] Ioh. 13:27

---

**[28.3] Tit.** scr. (καὶ om. G) βάψας τὸ ψωμίον ὁ ἰ(ησοῦ)ς δίδωσι (δέδωκε G) τῶ ἰούδα in marg. BCDGLMOVW — **4.** σατανὰς DZ: σατανάς G — ante οὐτοῦ scr. χρ(υσοστόμ)ου in marg. G — **5.** κατὰ φρονῶν BL — **8.** ἀπώνανται] ἀπώνμανται L: ἀπόνανται DOV: ἀπόναντο B — ἐχθροῦ] ἐχροῦ M — αὐτοῦ] αὐτῶν GWZ — **9.** τροφὴ AW — **10.** ἀνακαίει WZ — **11.** ἡδὺς] bis acc. V — **12.** ἰδεῖν] om. W — ἐπὶ λάμπων B — αὐγῆς] αὐτῆς B

**[28.4]** ***Ὁ ἄρτος ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν;***

Τούτοις καὶ ὁ μέγας Παῦλος ἑπόμενος, ἄρτον καὶ οὐκ ἄλλό τι τὸ θεῖον ἐπωνόμασε δῶρον· ἐν γὰρ τῇ πρὸς Κορινθίους πρώτῃ, ὁ *ἄρτος* φησὶν ὃν κλῶμεν, *οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν;* Ὡς γὰρ τὸ σῶμα ἐκεῖνο ἥνωται τῷ Χριστῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου τούτου ἑνούμεθα· καὶ ὅπερ οὐ πέπονθεν ἐπὶ τοῦ σταυροῦ, *ὀστοῦν* γάρ φησιν *οὐ συντριβήσεται αὐτοῦ*, τοῦτο ἐπὶ τῆς προσφορᾶς *πάσχει* δι' ἡμᾶς, καὶ ἀνέχεται διακλώμενος, ἵνα *πάντας* ἐμπλήσῃ. Ἐπεὶ δὲ τὸ κοινωνοῦν ἕτερόν ἐστιν οὗ κοινωνεῖ, καὶ τὴν μικρὰν οὖσαν διαφορὰν ἀνεῖλεν, εἰπών, *ὅτι εἷς ἄρτος, ἓν σῶμα ἐσμὲν οἱ πολλοί.* Οὐχὶ πολλά, ἀλλ' *ἓν σῶμα* Χριστοῦ, ἐπειδὴ γὰρ ἡ τῆς ἡμετέρας σαρκὸς φύσις τῇ ἁμαρτίᾳ νενέκρωτο, ἑτέραν ἐπεισήγαγε ζύμην, τὴν αὐτοῦ σάρκα ὁ Κύριος, φύσει μὲν οὖσαν τὴν αὐτήν, ἁμαρτίας γε μὴν ἀπηλλαγμένην, καὶ ζωῆς γέμουσαν, ἵνα τρεφόμενοι, καὶ τὴν προτέραν ἀποτιθέμενοι τὴν νεκράν, εἰς τὴν ζῶσαν καὶ ἀθάνατον διὰ τῆς τραπέζης ἀνακιρνώμεθα ταύτης.

**ABCDGLMOVWZ**

---

**[28.4] Tit.** ἄρτος-ἔστιν] 1 Cor. 10:16 — **2-4.** ὁ ἄρτος-ἐστὶν] cf. Nicet. Steth., *Dial. de azym.,* p. 329.10-11 — **3-4.** ἄρτος-ἐστὶν] 1 Cor. 10:16 — **6.** ὀστοῦν-αὐτοῦ] Ioh. 19:36 — **8-10.** ὁ Ἐπεὶ-πολλοί] cf. Nicet. Steth., *Dial. de azym.,* p. 329.11-13 — **9-10.** ὅτι-πολλοί] 1 Cor. 10:17

---

**[28.4] Tit.** scr. ὁ ἄρτος ὃν κλῶμεν οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χ(ριστο)ῦ ἐστιν; in marg. DGMOW — **1.** ἄλλό τι] ἄλό τι B — **2.** προς G — πρώτῃ] *α'* Z — **4.** ἐστιν G — οὕτω] οὕτως A — **5.** ἄρτου] om. B — **6.** φησιν] om. W: φησὶ B — **8.** ἐμπλήσει G — οὐ B — **9.** ἀνείλεν L — **10.** ante ἐπειδὴ scr. ση(μείωσαι) in marg. G — ἐπειδὴ] ἐπεὶ δὴ B — **13.** post τὴν scr. et del. ἁμα (ex ἁμαρτίας) D — ζωῆς] ζῶσαν B — **14.** τρεφώμενοι G — ἀποτιθέμενοι] ἀποθέμενοι BLZ

Καὶ μετά τινα, *ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν·* εἰ γὰρ καὶ μήπω τότε παρῆν, τῷ γε εἰδέναι, μηδὲν πλέον ἔχειν ἐκείνην, τῆς ἡμῖν προτιθεμένης θείας τραπέζης, ὁ αὐτὸς γὰρ καὶ τήμερον ἐφίσταται Κύριος τοῖς ἑστιωμένοις μεταδιδούς, παρὰ τοῦ Κυρίου ἔφη παρειληφέναι· *ὅτι ὁ Κύριος τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε* καὶ εἶπε, *λάβετε, φάγετε, τοῦτο ἐστὶ τὸ σῶμα μου, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· τοῦτο* γάρ φησι *ποιεῖτε*, τὸ πλῆρες χάριτος καὶ ἀληθείας, μὴ τὸ νομικὸν ἐκεῖνο καὶ σκιῶδες. Καὶ μὴ ὅτι γε ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ἄρτον τὸ θεῖον ὀνομάσας δείκνυται δῶρον. Ἆρ' οὖν οὕτω μὲν οἱ τοῦ πρώτου τῶν ἀποστόλων χοροῦ τῶν ἀριστίνδην ἐξειλεγμένων οὕτως εὐαγγελιζόμενοι ὁμοφωνησάτην, τοῦ καιροῦ τε πέρι τῶν διαθηκῶν ἀμφοῖν, καὶ μέντοι καὶ τοῦ δοθέντος πνευματικοῦ ἄρτου, οἱ δὲ τῶν κορυφαίων ὁμιληταὶ γεγονότες, οὐκ ἐφάμιλλα τούτοις, καὶ τοῖς κλεινοῖς αὐτῶν καθηγηταῖς συνεγράψαντο; Πολλοῦ γε καὶ δεῖ. Καὶ γὰρ ὁ θεῖος Λουκᾶς ὁμιλητὴς τοῦ μεγάλου Παύλου γενόμενος, ὥσπερ ἄρα
M 240r καὶ ὁ θαυμάσιος ‖ Μάρκος, Πέτρου τοῦ τὸν Χριστὸν ὑπερλίαν

**ABCDGLMOVWZ**

---

**16-17.** ἐγὼ-ὑμῖν] 1 Cor. 11:23; cf. Leonem Achr., *Epist. de azym.*, col. 840.14-16 — **20-21.** ὅτι-ἔκλασε] 1 Cor. 11:23-24 — **20-23.** ὅτι-ἀνάμνησιν] cf. Leonem Achr., *Epist. de azym.*, col. 840.14-18; Nicet. Steth., *Armen. et Latin.*, p. 144.13-17 — **21-22.** λάβετε-μου] Matth. 26:26 — **22-23.** τοῦτο-ἀνάμνησιν] Luc. 22:19, 1 Cor. 11:24 — **24.** τοῦτο-ποιεῖτε] Luc. 22:19, 1 Cor. 11:24

---

**16.** post μετάτινα scr. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κ(υρίο)υ, ὅ κ(αὶ) παρέδωκα ὑμῖν in marg. CDLMOV — **17.** γὰρ] om. GZ — **19.** τήμερον] σήμερον G — ἑστιωμένοις BDLOW: ἐσθιωμένοις G: ἐσθιομένοις Z — μετὰ διδοὺς Z: μετὰ διδούς B — **20.** ante ὅτι ὁ scr. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν in marg. Z — ὁ] om. L — **22.** τοῦτό ἐστι BCDLMOVW — **23.** ποιεῖτέ φησι W — φησι] om. B: φησὶ G — **24.** ὅτι] κέτι B — **25.** ὀνομάσας] post cor. (ex ὀνόμάσας) L — **26.** οἱ] ἡ Z — **27.** ἐξειλεγμένων] ἐξειλέγμένων C: ἐξηλεγμένων Z: ἐκλελεγμέν(ων) G — **28.** πέρι] περὶ BDLZ — **31.** (καὶ)] sscr. M — post γὰρ add. καὶ DO: sscr. B — **32.** ὁμιλητὴς γεγονὼς τοῦ μεγάλου παύλου sign. et scr. γρ(άφε) ὁμιλητὴς τοῦ μεγάλ(ου) παύλου γενόμ(εν)ος in marg. C — post μεγάλου add. ἁγίου LZ — **33.** ὑπὲρ λίαν AGLMWZ

ἠγαπηκότος, ὡς ἐν λύρᾳ μιᾷ καὶ τῆς αὐτῆς ἁρμονίας ἀλλήλων ἐχόμενοι, οὐκ ἔσθ' ὅπῃ τοῖς λοιποῖς τῶν εὐαγγελιστῶν διηνέχθησαν. Εἰ τοίνυν ἀζύμου κεκοινωνήκει κατ' ἐκεῖνο τοῦ χρόνου τοῖς μαθηταῖς ὁ Σωτήρ, τί τὸ ὑποθρᾶττον ἦν, μὴ οὑτωσί πως κοινῇ τοὺς ἀποστόλους εἰπεῖν, «καὶ λαβὼν τὸ κατὰ τὸν παλαιὸν νόμον ἄζυμον, ἔκλασε, καὶ τοῖς μαθηταῖς ἐπεδίδου». Οὐκ ἔστι τοῦτο οὐκ ἔστιν. Ἀκριβῶς γὰρ εἰδότες, μήπω τὴν τῆς ζύμης ἄρσιν γεγενημένην, ὅτε τοῦ θείου μεταλαγχάνοντες ἦσαν δείπνου, ἀλλὰ ζυμίταις ἄρτοις, ἀδεῶς πάντες ἐκέχρηντο, ἄρτον εἶπον, ὡς ἂν αὐτοτελῆ τε καὶ ἄρτιον, ἁλσὶ καὶ ζύμῃ πεφυραμένον τὸν Κύριον τοῖς μαθηταῖς μεταδοῦναι, καὶ τοῦτο, τὸ οἰκεῖον εἶναι σῶμα εἰπεῖν· μεταποιεῖται γὰρ ἀτεχνῶς, ἀρρήτῳ δή τινι καὶ θείᾳ δυνάμει εἰς αὐτὸ τὸ τοῦ Κυρίου σῶμα, εἰ καὶ ἡμῖν ἀσθένειαν δήπου περικειμένοις, ὡς ἄρτος ἔτι καθορᾶται· οὐ γὰρ ἂν ἠνεσχόμεθα, σαρκῶν ὠμῶν ἅπτεσθαι, ἔτι φοινισσομένων τῷ αἵματι.

**ABCDGLMOVWZ**

---

**34.** ἀγαπηκότος D — ὡς] om. Z — ἁρμονίας] post cor. (ex ἀρμονίας) Z — **34-35.** ἐχόμενοι ἀλλήλων Z — **36.** ante εἰ τοίνυν scr. ση(μείωσαι) in marg. G — **37.** χρόνου τοῖς] om. B — ὑποθράττον GZ — **39.** ἐπεδίδου] μετεδίδου BDOV — **41-42.** δείπνου ἦσαν per sscr. β′ et α′ Z — **42.** ἀλλὰ ζημίταις DLMO: ἀλλὰ ζημίταῖς B: ἀλλ' ἀζημίταις C — **44.** μεταδοῦναι] μετὰ δοῦναι B: μεταδιδόναι A — εἶναι] om. Z

**[29] Ὅτι οὐ μετάθεσις τότε τοῦ νομικοῦ γέγονε Πάσχα.**

Εἰ δὲ καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἐξηγήσει εὐαγγελίου, ἐθελοντὰς ὑπερθέσθαι φησὶ τοὺς ἀρχιερεῖς τὴν τοῦ Πάσχα ἑορτήν, καὶ τὸν νόμον λῦσαι, προτετιμηκότας ὃν ἐξήρτυον κατὰ τοῦ Κυρίου θάνατον, τοῦ καιροῦ μὴ συγχωροῦντος ἀμφότερα —*σφόδρα γὰρ ἔζεον* κατ' *αὐτοῦ τῷ θυμῷ· οὐ γὰρ ἂν ὁ Χριστὸς παρέβη* φησὶ *τὸν* περὶ *τοῦ Πάσχα* νόμον, *οἱ* δὲ *πάντα τολμῶντες ἐκεῖνοι, καὶ μυρίους καταπατοῦντες νόμους*—, ἀλλὰ πολλὴν ὁ ἅγιος οἶμαι καταδρομὴν αὐτῶν ποιησάμενος, καὶ τῷ δικαίῳ θυμῷ ἐπαφείς, καὶ μυρίαις ὕβρεσι τούτους πλύνας, καὶ πάντα τὰ χείριστα ταῖς τούτων ἀνατιθεὶς κεφαλαῖς, καὶ τῆς ὑπερβολῆς ὅλος γενόμενος, τὸ πρᾶγμα δὲ οὐκ οἶδ' ὅπως οὐκ ἐξετάσας, ἐξώσθη τοῦ πιθανοῦ. Καὶ μάρτυς αὐτὸς οὗτος. Ἐν γὰρ τῇ τοῦ κατὰ Ἰωάννην ὕστερον ἐξηγήσει εὐαγγελίου, ἀκριβέστερον ἐπιστήσας τῇ ἱστορίᾳ τὸν νοῦν, *πρὸ μιᾶς* ἔφη τὸν Κύριον ἡμέρας, τὸ οἰκεῖον παραδοῦναι Πάσχα, *τηροῦντα τὴν ἑαυτοῦ σφαγὴν τῇ Παρασκευῇ, ὅτε τὸ παλαιὸν ἐγίνετο Πάσχα*, ὥστε μὴ τοὺς ἀθλίους

**ABCDGLMOVWZ**

---

**[29] 5-7.** σφόδρα-νόμους] Ioh. Chrys., *Matth.* (Hom. 84), § 2, col. 754.16-19 — **14-16.** πρὸ μιᾶς-Πάσχα] Ioh. Chrys., *Iohan.* (Hom. 83), § 3, col. 452.3-4

---

**[29] Tit.** scr. ὅτι οὐ μετάθεσις τότε τοῦ νομικοῦ γέγονε πάσχα in textu A: scr. in marg. BCDLMW — **1.** κατα GW — ματθαιον L — **3.** λῦσαι] post cor. (ex λύσαι) V: λύσαι DGMO: λύσαι post cor. (ex λῦσαι) Z — **7.** ἐκεῖνοι] post cor. (ex ἐκείνοι) W — **9.** ante θυμῷ sign. et δικαίῳ om. in textu et scr. in marg. D — **10.** τούτων] post cor. (ex τούταις?) L — **11.** ὑπερβολῆς in ras. V — ὅλως B — **12.** ἐξετάσαις D — μά[ρ]τυς illeg. Z — **13.** τοῦ] om. Z — ἐξηγήσει ὕστερον Z — **15.** παραδοῦναι] παρὰ δοῦναι Z — **16.** μὴ] om. ACLZ

ἐκείνους, κἀν τούτῳ παρηνομηκέναι. *Ἄγουσι* γάρ φησιν ὁ εὐαγγελιστὴς *τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον* —μέσων γὰρ νυκτῶν αὐτῷ ἐπιθέμενοι, εἰς τὸ τοῦ Καϊάφα πρῶτον καθείλκυσαν καταγώγιον, εἶθ' οὕτω πρωΐτερον, εἰς τὸ πραιτώριον *ἄγουσι*—, καὶ αὐτοὶ *οὐκ εἰσῆλθον, ἵνα μὴ μιανθῶσι*, μέλλοντες τοῦ
M 240v Πάσχα ‖ μεθέξειν. Καὶ μετά τινα· *οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευῆ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ Σαββάτου* —συμβεβήκει γὰρ τῇ τοῦ Σαββάτου, καὶ ἡ τοῦ νομικοῦ τελετὴ Πάσχα—, οὐ γὰρ ἄν, εἴ γε καὶ πρὸς βουλῆς αὐτοῖς ἦν, ἐξῆν ὑπερθέσθαι, τὴν μεγίστην αὐτοῖς νομιζομένην ἁπασῶν ἑορτήν, τῷ φόβῳ κρουομένοις τοῦ δήμου, δεινὸν ἀπειλοῦν αὐτοῖς, τὸ τούτου περίεργον καὶ πρὸς ἀπόνοιαν εὐχερές.

**ABCDGLMOVWZ**

---

**17-21.** Ἄγουσι-μιανθῶσι] Ioh 18:28 — **22-24.** οἱ-Σαββάτου] Ioh. 19:31 — **23-24.** ἐπεὶ-Σαββάτου] cf. Nicet. Steth., *Dial. de azym.*, p. 330.6-7 — **23-25.** ἐπεὶ-Πάσχα] cf. Ps.-Athan. Alex., *De azymis* col. 1329.14-20

---

**17.** κἀν] ἐν G — **18.** εἰς] επὶ AC — **19.** μέσον G — **20.** πρωίτερον] πρωιαίτερον G — **22.** [κ]αὶ deest G — οἱ] εἰ G — **23.** παρασκευῆ GWZ — **24.** γὰρ] om. ACLZ — **25.** εἴ L — **26.** πρὸς βουλῆς] προσβουλῆς BG — βουλῆς] om. W — ἦν αὐτοῖς G — μεγίστ(ην) B — **27.** ἑορτήν] post cor. (ex ἑορτὴν) B — **28.** ἀπειλοῦν] post cor. (ex ἀπειλοῦντος) Z: ἀπειλοῦντος W

**[30] Ὅτι οὐδὲ περὶ τὸν καιρὸν τοῦ Πάσχα, οἱ Ἰουδαῖοι τότε ἐπλανήθησαν.**

Ἀλογίστως δέ μοι δοκεῖ παντάπασιν ἔχειν, καὶ τὸ οἴεσθαί τινας περὶ τὸν καιρὸν τοῦ Πάσχα, τοὺς ἀρχιερεῖς πεπλανῆσθαι καὶ οὕτως ὑπερτεθῆναι τὴν ἑορτήν· οὐ γὰρ καὶ παισὶ δήπου ἡ τῆς σελήνης ἠγνόητο τεσσαρεσκαιδεκάτη, ἀφεστηκυΐας τοῦ ἡλίου κατὰ διάμετρον. Ἐναργῶς τοίνυν δέδεικται τοῖς εὐγνωμόνως ἀκούειν ἐθέλουσι, μὴ δ' ἂν ἓν τῶν τοῦ νομικοῦ τύπου ἐθῶν ἐν τῇ τῆς θείας μυσταγωγίας συμπεριληφθῆναι τελετῇ.

**ABCDGLMOVWZ**

---

**[30] Tit.** scr. ὅτι οὐδὲ περὶ τὸν καιρὸν τοῦ πάσχα οἱ ἰουδαῖοι τότε ἐπλανήθησαν in textu A: scr. in marg. BCDLMOVW — **3.** ὑπερτιθέναι Z — **4.** σελήνης] (σελήνης) D: σελήν*ης* illeg. M — τεσσαρεσκαιδεκάτη] ιδ′ Z — ἡλίου] (ἡλίου) D — **5.** post τοίνυν scr. et del. ἠγνόηται C — ἐυγνομόνως G — **6.** μὴ δ′ ἂν] μηδ′ ἂν AV — τῶν] sscr. C — **7.** τελετῇ συμπεριληφθῆναι D

**[31] Ὅτι καὶ οἱ θεῖοι κανόνες, τὸ ἀζυμοθετεῖν ἀπαγορεύειν.**

Ἀλλ' ἴδωμεν ὅπως καὶ οἱ θεῖοι κανόνες περὶ τῶν ἀζύμων, κρίσεως ἔχουσιν. Ὁ μέν ἑβδομηκοστὸς τῶν ἁγίων ἀποστόλων, τῶν δεχομένων τὰ παρὰ τῶν Ἰουδαίων ἄζυμα, τοὺς μὲν ἱεράσθαι λαχόντας, καθαιρεῖ, τοὺς δὲ τοῦ λαοῦ ἀφορισμῷ ὑποβάλλει. Ὁ δὲ ἐνδέκατος τῆς ἕκτης συνόδου, *μηδεὶς τῶν ἐν ἱερατικῷ φησι κατειλεγμένων τάγματι, ἢ λαϊκὸς, τὰ παρὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθιέτω· εἰ δ' οὖν, ἀλλ' ὁ μέν, καθαιρείσθω, ὁ δέ, ἀφοριζέσθω*. Εἰ δὲ μὴ πρὸς Ἰουδαίων ταῦτα φασὶ δέχεσθαι, αὐτοὶ δὲ ποιοῦντες προσφέρειν, ἀλλ' οὐκ εὐπρόσωπος αὕτη ἀπολογία· οὐδὲν γὰρ διοίσει, εἴτ' οὖν παρ' ἑαυτοῦ τίς, εἴτε παρ' ἑτέρων ταῦτ' εἴη λαμβάνων, σκανδάλου διδοὺς ἀφορμὴν καὶ ὑπόνοιαν, ὡς τὰς Ἰουδαϊκὰς τιμῶν τελετάς. Ὥσπερ ἂν εἰ καὶ περιτέμνων τὶς ἑαυτόν, ἀλλὰ μὴ πρὸς τῶν χρωμένων τῷ ἔθει τούτῳ περιτεμνόμενος, ἐνίσταιτο, μὴ τὰ ἐκείνων δήπου φρονῶν —παρανομίας γάρ, ταύτῃ ποιῶν—, ἑάλω ἂν τῆς ἐσχάτης. Οἱ τῆς παλαιᾶς τοίνυν οἰκήτορες Ῥώμης, ὡς ἂν οὐκ ἀποχρῶν ἡγησάμενοι, βλάσφημον γλῶτταν

**ABCDGLMOVWZ**

---

**[31] 2-4.** Ὁ μέν-ὑποβάλλει] cf. *Synt.*, ι', § 4, pp. 308.24-309.1 — **4-7.** Ὁ δὲ-ἀφοριζέσθω] cf. *Synt.*, ι', § 4, p. 310.4-8

---

**[31] 2-4.** Ὁ μέν-ὑποβάλλει] cf. *Can. Apost.*, canon 70, p. 90.10-14 — **4-7.** Ὁ δὲ-ἀφοριζέσθω] *Conc. CP Trullanum* (692), canon 11, *COGD*, p. 237.746-755; *Σύνταγμα*, pp. 328.27-329.4; cf. Nicet. Steth., *Dial. de azym.*, pp. 328.16-20; 333.20-334.2 — **5-7.** μηδεὶς-ἐσθιέτω] cf. Ps.-Ioh. Damasc., *Azym.*, § 3, col. 396.43-45

---

**[31] Tit.** scr. ὅτι κ(αὶ) οἱ θεῖοι κανόνες, τὸ ἀζυμοθυτ(εῖν) ἀπαγορεύειν: in marg. BV — **1.** ante Ἀλλ' ἴδωμεν scr. ἀποστολ(ικὸς) καν(ὼν) ο' in marg. AG: scr. ἀποστ(όλων) ο' in marg. L: scr. καν(ὼν) τ(ῶν) ἁγί(ων) ἀποστ(όλων) ο' in marg. Z — εἴδωμεν Z — οἱ] post cor. (ex ὁς) W — **2.** ὁ] deest Z — ante ὁ μέν scro' . in marg. C — ἑβδομηκοστὸς] ο' Z — **4.** τοῦ] post cor. (ex τοὺς) W — Ὁ] deest Z — ante Ὁ δὲ scr. σύνοδ(ος) στ' ια' in marg. AGL: scr. στ' ια' in marg. C — **5.** ἐνδέκατος] ια' CG: α' LZ — ἕκτης] στ' ACDGL — μηδεὶς] μὴ δεὶς B: μηδὲς L — φησὶ GZ — **7.** καθαιρείσθω] post cor. (ex καθαιρεῖσθω) Z — Εἰ] Οἱ A — **9.** post αὕτη ras. (3-4 litt.) W — ante ἀπολογία scr. ἡ GWZ — **10.** οὖν] om. G — εἴτε] εἶπε L — ἑτέρων] ἑτέρου G — ταῦτ' εἴη] ταῦτα ǀ εἴη Z — **11.** διδοὺς] δίδωσιν B — **12.** τιμῶν] τελ(ῶν) Z — ὥσπερ' ἂν W — περιτέμνων] περιτέμνειν LZ — **14.** ἐνίστατο W — δήπου] δῆθεν G — παρανομία B

κατὰ τοῦ ἁγίου μόνον κινεῖν Πνεύματος, εἰ μὴ καὶ τὰ περὶ τὴν ἔνσαρκον τοῦ Κυρίου οἰκονομίαν αὐτοῖς καινοτομηθείη, δι' ἀζύμου τὰ φρικτὰ Χριστοῦ μυστήρια, ἱερουργεῖν οὐ πεφρίκασιν, ἵν' εἴη πάντα τοῖς ἀσεβοῦσιν ἀσεβῆ, καὶ μηδὲν ἀτόλμητον αὐτοῖς ὑπολίποιτο· κἂν γὰρ μὴ δοκῇ τισι πίστεως εἶναι διαφορά, ἡ διὰ τοῦ ἐνζύμου καὶ ἀζύμου ἱερουργία, ἀλλ' ἐπείπερ οὐκ ἐξ ὑγιοῦς ὥρμηται τὸ τοῦ ἀζύμου δόγμα διδασκαλίας, μεγίστην φέρει τῇ
M 241r ψυχῇ τὴν ζη-‖μίαν, καὶ περὶ αὐτὸ τὸ κεφάλαιον, τῆς ἡμετέρας σωτηρίας ὁ κίνδυνος.

**ABCDGLMOVWZ**

---

**17.** μόνον] om. B — **20.** μηδὲν] μὴ δὲν BL — **21.** ὑπολείποιτο Z — δοκεῖ GWZ — **21-22.** δι' ἐνζύμου Z — **22.** ἀλλ ἐπείπερ L — **23.** ὥρμηται] ὥρμητο A — τοῦ] τῆς ALZ

**[32] Ὅτι τρισὶν αἱρέσεσιν περιπίπτουσιν, οἱ ἄζυμα θύοντες.**

Ἐκτὸς γὰρ τοῦ διδόναι ὑπόνοιαν τὰ Ἰουδαίων φρονεῖν, τοὺς ταύτῃ χρωμένους τῇ τελετῇ, περὶ ὧν φησιν ὁ Ἀπόστολος, *οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε*, τριῶν αἱρέσεων ἡ πρᾶξις κατηγορεῖ κοινωνίαν· τῆς Ἀρείου παραπληξίας, τῆς τῶν Ἀκεφάλων φρενοβλαβείας, καὶ Ἀπολιναρίου τῆς ἀλογίας. Ἄρειος μὲν γάρ, ἐπειδὴ τὸν τῆς κτίσεως ἁπάσης δημιουργὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον —ὦ τῆς ἐξαγίστου καὶ μιαρᾶς γλώττης ἐκείνης καὶ διανοίας!— εἰς κτίσμα καὶ ποίημα κατεβίβαζε, ταύτῃ τοι καὶ τὸν ἐπ᾽ ἐσχάτων τῶν χρόνων, διὰ τὴν τοῦ κόσμου σωτηρίαν προσληφθέντα ἄνθρωπον τῷ Θεῷ Λόγῳ, ψυχῆς ἀμοιρεῖν ἐφλυάρει· ἱκανὴ γὰρ ἦν ἡ θεότης, τὰς τῆς ψυχῆς ἐνεργείας ἀποπληροῦν. Τὰ τῆς σαρκὸς πάθη προσάπτειν ἐντεῦθεν μηχανώμενος τῇ θεότητι, οἷα τοῦ κινοῦντος τὸ σῶμα, τούτου δῆτα καὶ πάσχοντος, διά τοι τοῦτο καὶ οἱ τὰ ἐκείνου πρεσβεύειν μὴ αἰσχυνόμενοι, ἄζυμον τὸ τοῦ Κυρίου προσκομίζουσι σῶμα, ἀτελῆ τὴν θείαν λογιζόμενοι σάρκωσιν. Ταύταις ταῖς πάγαις ἁλοὺς καὶ

**ABCDGLMOVWZ**

---

**[32] 5.** Ἀκεφάλων] cf. *Synt.*, α′, § 2, p. 65.1

---

**[32] 2-3**. οἵτινες-ἐξεπέσετε] Gal. 5:4

---

**[32] Tit.** scr. ὅτι τρισὶν αἱρέσεσι περιπίπτουσιν οἱ ἄζυμα θύοντες in marg. BCDMVW — **1.** ante Ἐκτὸς sign. B — φρονεῖν] om. A — **2.** ὧν B — φησὶν GZ — **3.** δικαιοῦσθε] δικαιοῦσθαι et sscr. ε (per δικαιοῦσθε) W: δικαιοῦση L — πράξις A — **4.** post τῆς ras. (2 litt.) L — **5.** φρενοβλαβίας BGV — ante Ἄρειος scr. ἄρειος in marg. ABCDGLMOW — **5-11.** scr. ὅρα in marg. W — **8.** κατεβίβαζε] μετεβίβαζε G — **9.** τὸν χρόνον V — **10.** προσλειφθέντα Z — **11.** ἱκανὴ] post cor. (ex ἱκανῆ) W: ἱκάνὴ A — τὰς] post cor. (ex τῆς) Z — **12.** προσάπτειν] om. Z — **13.** δῆτα] δῆ L: δὴ Z — **14.** ante διάτοι scr. σημ(είωσ)αι in marg. W — πρεσβεύειν laps. cal. V — **16.** ante Ταύταις scr. ἀπολινάριος in marg. ABCDGLMOWZ — πάγαις] παγίδαις D

Ἀπολινάριος, ἔμψυχον μέν, οὐ μὴν ἔννουν τὸν προσληφθέντα τῷ Θεῷ Λόγον, φανερῶς ἀνοηταίνων, ἐδογμάτιζεν ἄνθρωπον, οὐ νοερὰν ψυχήν, ἀλλ' ἵππου τυχὸν ἢ βοός, ἢ ἄλλου τῶν ἀνοήτων, ἐκεῖνον ἔχειν ἰσχυριζόμενος. Καὶ τὸ κυριώτατον ἀφαιρῶν τοῦ ἀνθρώπου, τοῦτο δέ ἐστιν ὁ νοῦς, κτῆνος τὸ λειπόμενον ἀπεδείκνυ. Τὸ δὲ κτῆνος, οὐκ ἄνθρωπος. Οἱ δὲ τῆς τῶν Ἀκεφάλων αἱρέσεως, ᾗ καὶ τὸ τῶν Ἀρμενίων προσανέχουσι γένος, τὰς δύο ἐπὶ τοῦ Κυρίου φύσεις, εἰς μίαν ἀνακιρνῶντες τὲ καὶ συγχέοντες, καὶ τὴν θεότητα παθητὴν εἶναι διατεινόμενοι, οὕτω καὶ αὐτοὶ τὴν θείαν τελεῖν ἱερουργίαν δεῖν εἶναι ἐνόμισαν.

**ABCDGLMOVWZ**

---

**18.** λόγον] λόγω BDGMOVWZ — **19.** ἀλλ' ἵππου] ἀλ' ἱ-|ππου W — post ἄλλου scr. τινὸς Z — **20.** ἐκείνον G — **22.** ante Οἱ δὲ scr. ἀκέφαλοι in marg. ABCDGLMOW: scr. ἁρμένιοι in marg. ACL — Οἱ] Ἡ Z — **23.** αἱρέσεως AB — ᾗ B — ἁρμενίων ACGLMOVWZ — **24.** τὲ] om. Z

**[33] Τίνων εἰσὶ σύμβολα, ἡ ζύμη καὶ οἱ ἄλες.**

Τὸν γὰρ εἰς θυσίαν λαμβανόμενον ἡμῖν ἄρτον ἀντὶ τῆς σαρκὸς τοῦ Χριστοῦ, οὐ σῶμα Χριστοῦ, ἀλλὰ θεότητος λέγουσι σῶμα. Καὶ συνελόντι φάναι, παῖδας αἱρετικῶν ἴσμεν ὡς ἐπίπαν τούτοις χρωμένους. Οἱ δὲ τὴν καθαρὰν τῆς εὐσεβείας αἴγλην δεξάμενοι, καὶ τὸ τῆς οἰκονομίας μυστήριον ὑγιῶς δογματίζοντες, καὶ τῶν ἀζύμων καὶ τῶν ἐξευρόντων ταῦτα αἱρετικῶν, ἐπίσης ἀποδιΐστανται, κοινωνίαν ἁπασῶν αἱρέσεων, τὴν κοινωνίαν τούτων, ἡγούμενοι. Εἰ τοίνυν πιστεύομεν, ἔννουν τὲ καὶ ἔμψυχον σάρκα τὸν Σωτῆρα ἀνειληφέναι, ὡς ἐν δυσὶ τελείαις ταῖς φύσεσιν ἀσυγχύτως ἡνωμέναις, τὴν αὐτοῦ θεανδρικὴν θεωρεῖσθαι ὑπόστασιν —θεότητί τε λέγω καὶ ἀνθρωπότητι—, δεῖ καὶ ζύμην
M 241v ἔχειν καὶ ἅλας τὸ προσ-‖φερόμενον, ἵνα μὴ πρόφασιν ταῖς ῥηθείσαις δῶμεν αἱρέσεσι. Ταῦτα γάρ, τὴν τῆς νοερᾶς ψυχῆς φύσιν ἐξεικονίζουσιν· ἡ μὲν γὰρ ζύμη, τῆς αὐξητικῆς καὶ κινητικῆς καὶ τοῦ ὁμοίου γεννητικῆς φύσεως σύμβολον, οἱ δέ γε ἅλες, ἀτεχνῶς τοῦ νοῦ ἀπεικόνισμα. Ὡς γὰρ ἐκεῖνοι τὰ ἁλισθέντα

**ABCDGLMOVWZ**

---

**[33] Tit.** scr. τίνων εἰσὶ σύμβολα ἡ ζύμη καὶ οἱ ἅλες in marg. W — **1.** ante Τὸν γὰρ sign. W — ἡμῖν] om. Z — **3.** φᾶναι G — **5.** δογματίζοντες] post cor. (ex δόγματίζοντες) L — **5-6.** καὶ τῶν ἀζύμων] om. Z — **6.** ἐξευρόντων] ἐξ εὑρόντων MW: εὑρόντων G — ἐπίσης post cor. (ex α) Z — **7.** κοινωνίαν] κοινωνίας W — ἁπασῶν] post cor. (ex ἀπασῶν) Z — **11.** θεότητί τε] θεότητι G — **14.** ἐξ εἰκονίζουσιν GW — ante ἡ μὲν scr. τίνων εἰσὶ σύμβολα ἡ ζύμη καὶ οἱ ἅλες in marg. BCDLMV

συνέχουσι καὶ διακρατοῦσι, καὶ πρὸς φθορὰν καὶ σῆψιν διαρρεῖν οὐκ ἀφιᾶσι, τὸ χαῦνον αὐτῶν φυσικῶς στύφοντες, οὕτω καὶ ἡ τοῦ νοῦ δύναμις αὐτοκράτωρ οὖσα τῶν τῆς ψυχῆς ἀλόγου μερῶν, καὶ τῶν περὶ ταῦτα κρατοῦσα ἡδονῶν, ἀκρατῶς καὶ ἀνέτως οὐκ ἐᾶ φέρεσθαι, ἀλλὰ τὸ χαῦνον αὐτῶν, συνέχει καὶ ἀναστέλλει καὶ τονοῖ, καὶ νόμῳ καὶ τάξει βαίνειν, καὶ ὅρον τῆς φυσικῆς εἰδέναι παρασκευάζει κινήσεως.

**ABCDGLMOVWZ**

---

**19.** νοῦ-αὐτοκράτωρ] cf. Phil. Jud., *Leg. Allegor.*, § 198-199, p.157. 9-12

---

**17.** διακρατοῦσι] κρατοῦσι Z — προς D — **18.** στύφοντες] στύφον D — **19.** ἀλόγου] ἀλόγων BDOV — **20.** εᾶ BGO — **21.** post χαῦνον scr. κρατοῦσα L — **22.** τονοῖ] τὸ νοῖ G — *καὶ*²] in ras. L

**[34] Ἰακωβῖται ὅπως θύουσιν.**

Ἀλλὰ καὶ Ἰακωβῖται, οἱ τῶν αἱρετικῶν αἴσχιστοι, τὸν ἄρτον ὃν προσκομίζουσιν, ἐλαίῳ πρότερον χρίουσι, καὶ ἁλσὶν ἐπιπάττουσι, διά γε τό, *ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως*, καὶ τό, *πᾶσα θυσία, ἁλὶ ἁλισθήσεται*. Τί οὖν; Συνέλθωμεν καὶ τούτοις, καὶ μὴ τὸ τὴν ἀρχαίαν ἀπεστραμμένον συνήθειαν βδελυξώμεθα δόγμα; Εἰ γὰρ ἄλλοτε ἄλλας θυσίας δεῖ προσφέρειν, μάταιον ἄρα τὸ τῆς ἡμῶν πίστεως μυστήριον. Ἀλλὰ γὰρ εἰ μή τι ἄλλο, τὴν γοῦν τοῦ δικαίου τάξιν Μελχισεδὲκ αἰδεσθέντας, τὴν ματαίαν ἔνστασιν ἐχρῆν αὐτοὺς καταλελυκέναι, ὃς καὶ τοῦ Χριστοῦ τύπος ἦν, καὶ τὴν τάξιν τῶν καθ' ἡμᾶς μυστηρίων προεζωγράφει, ὡς γέγραπται, *σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ*.

**ABCDGLMOVWZ**

---

**[34] 3.** ἔχρισέ-ἀγαλλιάσεως] Ps. 44:8, Heb. 1:9 — **4.** πᾶσα-ἁλισθήσεται] Lev. 2:13 — **11.** σὺ ἱερεὺς-Μελχισεδέκ] Ps. 109:4

---

**[34] Tit.** scr. ἰακωβῖται (ἰακωβίται BZ) ὅπως θύουσιν in marg. ABCDLMOVWZ: scr. ὅπ(ως) θύουσϊν ἰακωβῖτ(αι) in marg. G — **1.** ἰακωβίται BZ — **2.** προσκομίζουσι W — **3.** post ἀγαλλιάσεως add. παρὰ τοὺς μετόχους σου V — **4.** ἁλισθήσεται] post cor. (ex ἀλισθήσεται) Z — συνήλθωμεν Z — **5.** ἀρχαῖαν G — **6.** δεῖ θυσίας G — **7.** μὴ post cor. (ex μὲν) L — τι] τῖς B — **9.** τύπος ἦν τοῦ χριστοῦ Z — **10.** ἡμᾶς] ὑμᾶς B — προὸ ἐζωγράφει G — **11.** Μελχισεδέκ] μελχισεδὲκ post cor. (ex μελχισεδέκ) L

**[35] Ὅτι πάντες οἱ θεῖοι πατέρες τὴν δι' ἐνζύμου ἱερουργίαν παραδεδώκασιν.**

Ἀλόγιστον μέντοι κομιδῇ καὶ φρενὸς ἔξω καθεστηκυῖας, τῶν τεσσάρων ἐκκλησιῶν τῶν ἡνωμένων τῷ τρόπῳ πλέον, ἢ τῷ τόπῳ διϊσταμένων, ἑνὶ νόμῳ περὶ τὴν ἱερὰν χρωμένων μυσταγωγίαν, ἣν Χριστὸς νενομοθέτηκε, καὶ ἀπόστολοι ἐδίδαξαν, καὶ ὁ τῶν
5 δισχιλίων πατέρων χορὸς ἐβεβαίωσε, τῶν ἐν ταῖς ἑπτὰ οἰκουμενικαῖς ἠγωνισμένων συνόδοις, ἐν αἷς καὶ πέντε ψῆφος πατριαρχῶν ἐπεκύρου, μόνην ὕστερον τὴν πρεσβυτέραν Ῥώμην νεωτερίσαι, καὶ τὰ νεκρά, τῶν ζώντων ἀλλάξασθαι, καὶ τῶν ἀληθινῶν, τὰ σκιώδη, καὶ τῶν τελείων καὶ ζωοποιῶν, τὰ
10 νεκροῦντα καὶ ἀτελῆ. Οὐδαμοῦ γὰρ τὸ νέον τοῦτο καὶ πρόσφατον τὸ τῶν αἱρέσεων γέννημα, ἐν ὅλῳ τῷ τοῦ εὐαγγελίου εὕρηται λόγῳ. Οὐ μήν, οὐδὲ ἡ τῶν ἀποστόλων οἵδε νομοθεσία, οὐδὲ ἡ τῶν πρὸ ἡμῶν ἁγίων παράδοσις· ὁ γὰρ τοῦ Κυρίου ἀδελφὸς ὁ μέγας Ἰάκωβος, ὁ τῆς τῶν Ἱεροσολύμων ἐκκλησίας, πρῶτος τὸν θρόνον
M 242r 15 κοσμήσας, καὶ ὁ τῆς Καισαρέων ἀρχιεπίσκοπος ‖ μέγας Βασίλειος,

**ABCDGLMOVWZ**

---

**[35] Tit.** scr. ὅτι πάντες οἱ θεῖοι π(ατέ)ρες τὴν δι' ἐνζύμου ἱερουργίαν παραδεδώκασιν in textu A: scr. in marg. BCDGLMOVW — **1.** ante Ἀλόγιστον sign. BDV — Ἀλλόγιστον GZ — κομιδῇ] post cor. (ex κομιδὴ) Z — **3.** ἣν] post cor. (ex ἣν) G — **4.** νενομοθέτηκε] post cor. (ex νενομοθέτηκεν) W — ante ἀπόστολοι add. οἱ A — post ὁ τῶν ras. (4 litt.) G — **5.** δισχιλίων] ,β Z — ἐβεβαίωσε] post cor. (ex ἐβαιβαίωσε) Z — **6.** πέντε] ε′ LZ — **7-8.** μόνην τὴν ὕστερον πρεσβυτέραν ῥώμην νεωτερίσαι V: μόνην τὴν πρεσβυτέραν νεωτερίσαι ὕστερον ῥώμην B — **11.** γένημα G — ἐν ὅλῳ] post cor. (ex ἐν ὅλω) Z — **13.** προημῶν B — ἁγίων π(ατέ)ρων παράδοσις BDMOVW — ante ὁ γὰρ alt. man. scr. [ἰακω]βῖται | [ὅπως] θύουσι in marg. C — **15.** ἀρχιεπίσκοπος] ἐπίσκοπος G

οὗ τὸ κλέος πᾶσαν ἐπέδραμε τὴν ὑφ' ἥλιον, πρὸς δέ, καὶ τὸ χρυσοῦν στόμα τῆς ἐκκλησίας, ἐγγράφως τὴν μυστικὴν ἡμῖν παραδεδωκότες ἱερουργίαν, δι' ἐνζύμου ἄρτου τελεῖν ἐκδεδώκασι, καὶ ταῖς κατ' αὐτοὺς ἐκκλησίαις, ἔνθα τὴν ποιμαντικὴν ἐνεχειρίσθησαν ἡγεμονίαν, οἷά τινα κλῆρον ἄνωθεν ἠγμένον, κατέλιπον. Διά τοι τοῦτο καὶ περὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας, φιλοσοφῶν ὁ θεῖος Χρυσόστομος, καὶ εἰδὼς ὅτι τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινὰ κατὰ τὸ λόγιον, ἐκεῖ τὸ γράμμα φησὶν, ᾧδε τὸ Πνεῦμα· *ἐκεῖ ἡ κιβωτός, ᾧδε ἡ Παρθένος· ἐκεῖ ἡ ῥάβδος Ἀαρών, ᾧδε ὁ σταυρός·* ἐκεῖ ὁ ἀμνός, ᾧδε ὁ Χριστός· *ἐκεῖ τὰ ἄζυμα, ᾧδε ὁ ἄρτος.* Ἀλλὰ καὶ ἡνίκα παρῆσαν τῇ βασιλίδι τῶν πόλεων οἱ θεῖοι ἐκεῖνοι ἄνδρες, ὅ τε Ἀγαπητὸς καὶ Βιγίλλιος, οἱ τῆς Ῥώμης ἐπ' εὐσεβείᾳ περιφανεῖς πρόεδροι, τῷ ἡμετέρῳ ἔθει, κἀκεῖνοι τὴν θείαν ἐπετέλουν μυσταγωγίαν, ὅτε μάλιστα καὶ τὸν ἱερὸν κεχειροτόνηκε Μηνᾶν, ὁ Ἀγαπητὸς ὡς ῥηθήσεται. Διαφορὰ γὰρ καὶ στάσις, οὐδεμία τοῖς ἁγίοις κεκίνητο ἄρτου διαφορᾶς πέρι· ὁ αὐτὸς γὰρ παρ' ἀμφοτέροις τρόπος τῶν μυστηρίων ἐπράττετο.

**ABCDGLMOVWZ**

---

**24-26.** ἐκεῖ-ἄρτος] Ps.-Ioh. Chrys., *Resurr.*, 46-49, p. 95 — **30.** ὡς ῥηθήσεται] cf. infra § **44.5**.13-14

---

**16.** ὑφ ἥλιον G: ὑφήλιον VZ — **17.** ἐγράφως G — ἡμῖν] om. G — **18.** post ἱερουργίαν alt. man. scr. πάντες οἱ θεῖοι | [πατέρε]ς τὴν δι ἐνζύ-| [μου] in marg. C — ἄρτου] om. D — ἐκδεδώκασιν W — **19.** κατ' | αυτοὺς B — ἐκκλησίαις in ras. L — **21.** Διά τοι] Αιά τοι Z — **23.** καινὰ] post cor. (ex κενὰ) G — ante ἐκεῖ scr. χρ(υσοστόμ)ου in marg. G — **24-26.** ᾧδε…ᾧδε BDMOVW — **25.** ῥᾶβδος CDL: ῥάβδος et scr. γρ(άφε) ῥαύδος in marg. G — **26.** post ἄρτος scr. μὴ ζήτει τοίνϋν ἐκεῖνα τὰ ἄζϋμα· ἐπεὶ, μὴ δὲ ἀμν(ὸν) τοιοῦτ(ον) ἔχεις in textu G — **27.** ante θεῖοι scr. θέσι (vel. Θειοι) L — ὅ τε] ὅ,τε BMVW — **28.** post τῆς add. παλαιᾶς G — ἐπ' εὐσεβείᾳ] om. G — **29.** τὴν θείαν ἐπετέλουν κἀκεῖνοι BDGMOVW — ante ὅτε scr. ση(μείωσαι) in marg. G — μάλλιστα B — **31.** γὰρ] δὲ Z — οὐδὲ μία BGOW — κεκίνηται Z — **32.** τρόπος] post cor. (ex τρόπως) L

**[36] Πόθεν ἤρξατο οἱ Λατῖνοι τὰ ἄζυμα.**

Πολλοῖς γὰρ ὕστερον χρόνοις, πρὸς τῶν Οὐανδάλων τῶν νῦν Νεμιτζίων λεγομένων, ἡ νόσος τοῖς Λατίνοις εἰσεκώμασεν αὕτη· τῆς γὰρ Ῥώμης πολέμου νόμῳ τῷ ἔθνει τούτῳ ἑαλωκυΐας, καὶ τοῦ ῥηγὸς αὐτῶν, τῆς ἀρειανικῆς ὄντος αἱρέσεως, τὴν λώβην ταύτην καὶ ἄκοντες, Ῥωμαῖοι πάντες ὡς εἰπεῖν εἰσεδέξαντο. Τὸ δὲ ὅλον εἰπεῖν, εἰ δύο ἡμῖν ἐνταῦθα ἡ τοῦ Σωτῆρος θεανδρικὴ κεχάρισται πολιτεία, τὸ θεῖον πρὸς τὴν τῆς εἰκόνος ἔκπλυσιν βάπτισμα, καὶ τὴν τῶν ζωοποιῶν μέθεξιν μυστηρίων, εἰς ἁγιασμοῦ μετουσίαν, οἷς ὁ πιστός, τῶν ἀπίστων ἀφώρισται, ἐλλιπῶς δὲ τοῦ βαπτίσματος ἔχοντος, τῶν Ἑλλήνων οὐδὲν ὁ βαπτισάμενος διενήνοχεν, ὡς οἱ θεῖοι κανόνες διαγορεύουσιν, οὐκ ἂν ἑτέρας οἶμαι καὶ ἡμᾶς δεῖσθαι ψήφου πρὸς τοὺς ἀμφὶ τὰ θεῖα μυστήρια, προφανῶς οὕτω χωλεύοντας.

**ABCDGLMOVWZ**

---

**[36] 2.** Νεμιτζίων] cf. Const. VII Porph., *De Cerim.*, § 48, p. 689.6; Ioh. Zonaras, *Epit. hist.*, § 20, p. 727.14; Mich. Attal., *Hist.*, pp. 147.1, 221.6 — **11**. οἱ θεῖοι κανόνες διαγορεύουσιν] locum non inveni

---

**[36] Tit.** scr. ση(μείωσ)αι: πόθεν ἤρξαντο οἱ λατῖνοι τὰ ἄζυμα in textu A: scr. in marg. et sign. C — **1.** ante πολλοῖς alt. man. scr. in marg. ση(μείωσ)αι: A — οὐανδάλων] post cor. (ex οὐανδήλων) A: οὐανδήλων G — **2.** εἰσεκόμασεν B — **4.** ἀρειανικῆς] post cor. (ex ἀρεινικῆς) W — ὄντως BGLZ — **5.** ante Τὸ δὲ ὅλον scr. ση(μείωσ)αι: πόθεν ἤρξαντο οἱ λατῖνοι τὰ ἄζυμα in marg. L — εἰ] εἰς D: εἰ et sscr. ς (per εἰς) W — **8.** μετοὐσίαν G — **9.** ἀφώρισται] ἀφορίζεται Z — **10.** βαπτισάμενος] βαπτιζόμενος Z — **12.** οἶμαι G — δῆσθαι D — **13.** χολεύοντας AL

**[37] Πρὸς τοὺς λέγοντας, διὰ τὴν ἄσπορον τοῦ Κυρίου γέννησιν, δεῖ προσφέρειν ἄζυμον.**

Ἀλλὰ καὶ τοῦτο φασί τινες αὐτοὺς λέγειν, ἄνευ σποράς ὁ Σωτὴρ ἑαυτῷ τὸ πρόσλημμα ὑπεστήσατο, καὶ δεῖ τῶν προσφερομένων, τὴν ζύμην ἐξαίρεσθαι, λόγον σποράς ἐπέχουσαν. Πρὸς δὴ τοῦτο φαμέν, ὅτι πρῶτον μέν, οὐ τῆς ἐκ Παρθένου τοῦ Κυρίου γεννήσεως ταυτὶ σύμβολα, ἀλλὰ τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἐγέρσεως, καὶ οἷς τὸν διάβολον, ξένῳ τρόπῳ κατηγωνίσατο· *ὁσάκις γὰρ*
M 242v *ἂν ‖ ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ* φησὶν ὁ Ἀπόστολος. Ἀλλ’ ἄρα καὶ πρὸς τὴν ἄλογον ταύτην πρότασιν, εἰ καὶ παρεκβατικωτέρα τοῖς πολλοῖς ἴσως δόξειεν ἡ ἀπάντησις, ῥητέον ὅμως, εἰς δύναμιν τοῦ ἀσφαλοῦς προνενοηκόσι· λελήθασι γὰρ ἑαυτούς, οὐ μόνον ἐντεῦθεν ἐξομνύμενοι, ἐπὶ τὴν οὕτως ἀσπόρως παγεῖσαν σάρκα τὰ σωτήρια ταυτὶ ἐνεργηθῆναι παθήματα, ἀλλά γε καὶ ἄρνησιν ἀτεχνῶς τῆς τοῦ Κυρίου

**A** (**1-23**), **BCDGLMOVWZ**

---

**[37] 1-3.** Ἀλλὰ-ἐπέχουσαν] cf. Anonymous, *De azymis*, codd. *Patm.* 103, ff. 157v-158, *Vat. Palat. gr.* 200, ff. 180r-v: Inc. Εἶπε δέ τις ποτὲ καρδινάλιος ὅτι οὐκ ἁγιοτάτως μεταλαμβάνομεν τῶν ἀζύμων, ἀλλ’ἐπειδὴ ὁ τοῦ Θεοῦ Υἱὸς ἀσπόρως ἐτέχθη ἐκ τῆς πανάγνου Παρθένου τούτου ἕνεκα τὸ ἄζυμον ποιοῦμεν … — **7-9.** ὁσάκις-ἔλθῃ] 1 Cor. 11:26

---

**[37] Tit.** scr. πρὸς τοὺς λέγοντας διὰ τὴν ἄσπορον τοῦ κ(υρίο)υ γέννησιν δεῖ προσφέρειν ἄζυμον (ἄζυμα G) in textu A: scr. in marg. BCDGLMOVW — **1.** ante Ἀλλὰ sign. W — φασί] φησί Z — **2.** ἑαυτῷ] om. G — δεῖ] post cor. (ex δη) G: δὴ B — **3.** λόγον] λόγου LZ — post λόγον scr. in marg. λόγ(ους) vel. λόγ(ϊς) G — **7.** ξένῳ] post cor. (ex ξένον) G — **9.** ἄχρις] ἕως A — **10.** ante ἀλλ’ ἄρα scr. ση(μείωσ)αι et sup. ὡρ(αῖ)ον in marg. W — ἀλλ’ ἄρα] ἀλλ’ ὅρα Z — ἄλογον] ἄλλην LZ — ταύτην in ras. A — **11.** παρεκβατικώτερα B — **12.** προνενοηκόσιν BDMOVW — λελήθασι] post cor. (ex λελύθασι) B — **13.** ἐξ’ ὀμνύμενοι G — **15.** ἀλλά γε] ἀλλ’ ἄγε W

σαρκώσεως παρεισάγοντες. Εἰ γοῦν κατὰ πάντα ὁ Σωτὴρ πλὴν τῆς ἁμαρτίας ἡμῖν ὡμοίωται, τῆς οἰκείας μὴ ἐκστὰς τὸ σύνολον φύσεως, οὐδὲ ἄνευ σποράς, τὸ φύσει ἁγνὸν ἐχούσης καὶ ἁμαρτίας ἀνεπίδεκτον, τὴν ἁγίαν ἐκείνου σάρκα παγῆναι οἴεσθαι δεῖ —ὅσον μὲν γὰρ ἦν διημαρτημένον, καὶ τῆς πρώτης ἐχόμενον παραβάσεως, οὐ προσήκατο· τὴν ἐμπαθῆ φημι σποράν, καὶ *δούλην καὶ νυκτερινήν*, καὶ πόθοις ῥυπαροῖς καταβαλλομένην—, ὅσην γε μήν, ὁ τῇ οὐσίᾳ ἐγκείμενος δημιουργικὸς Λόγος δύναμιν εἰς ἐνέργειαν ἔσχεν, οὐδ' αὐτὸς παρητήσατο. *Αὐτὸς γὰρ ὁ τοῦ Θεοῦ Λόγος*, ὁ πᾶσι λόγοις τὴν ὕπαρξιν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν παρεχόμενος, ἀμέσως τῇ Παρθένῳ *ἐπισκιάσας*, *οἱονεί*, *θεῖος* ὑπῆρξε *σπόρος*, καὶ ὑπερφυῶς ἐνήργησε τὰ τοῦ ἐγκειμένου φυσικοῦ λόγου τῷ σπέρματι, *οὐ σπερματικῶς*, *ἀλλὰ δημιουργικῶς*, *καὶ συνέπηξεν ἑαυτῷ*, *ἐκ τῶν πανάγνων* τῆς Παρθένου *αἱμάτων*, *σάρκα ἐμψυχωμένην*, *ψυχῇ λογικῇ τε καὶ νοερᾷ αὐτὸς χρηματίσας ὑπόστασις τῇ σαρκί*. *Οὐ γὰρ καθ' ἑαυτῇ προϋποστάσει ὁ* τοῦ *Θεοῦ* ἥνωται *λόγος*, *ἀλλ' ἅμα σάρξ*, *ἅμα* καὶ τοῦ *Θεοῦ Λόγου σάρξ*, *ἔμψυχος* ὡς εἴρηται *λογική τε καὶ νοερά*.

**A** (**1-23**), **BCDGLMOVWZ**

---

**22.** δούλην καὶ νυκτερινήν] Greg. Naz., *Bapt.*, 2 § col. 360.31-32; cf. Ioh. Climac., *Scala parad.*, 15 § col. 835.50-51 — **24-35.** Αὐτὸς-ἐνανθρωπήσαντα] cf. Ioh. Damasc., *Exp. fidei*, § 46.25-34, p. 110; suum, *Nativ.*, p. 326, § 2.15-29; Nicet. Steth., *Orat.*, § 42.8-43.2, p. 206

---

**16.** παρεισάγουσιν A — [ε]ι γοῦν G — καταπάντα A — **17.** τὸ σύνολον] τοσύνολον CDMOWZ: τὸσύνολον L: το σύνολον AV: τὸ σύνολο B — **20.** μὲν] om. W — **21.** φημὶ BG — σποράν] σάρκα Z — **23.** ὅσην] ὅσον B — ἐγγείμενος G — **27.** τὰ] τῶ Z — **28.** τῶ] om. Z — **29.** δημιουργικὸς D — **31.** νοερᾷ] νοερᾷ vel νοερα(ν) M — χρηματίσὰς G — **32.** προϋποστάσει in ras. W: προϋποστάση CL — λόγος ἥνωται Z — post λόγος scr. et del. ἀλλ' ἑαυτῇ προϋποστάσει, ὁ τοῦ Θεοῦ ἥνωται λόγος dittography O — **32-33.** ἅμα καὶ-σάρξ om. W — καὶ τοῦ om. G — **33.** ante ἔμψυχος scr. ση(μείωσαι) in marg. W — λογική] post cor. (ex. λογικῆ) W — νοερά] post cor. (ex. νοερᾶ) W: νοερᾶ D

Παρό, *οὐδὲ ἄνθρωπον ἀποθεωθέντα λέγομεν, ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα*· ἐφ' ἡμῶν γὰρ ἡ γένεσις, τὴν φθορὰν ἔσχε γένεσιν, καὶ διὰ φθορᾶς τῆς γονῆς καταβαλλομένης, πλάττεται μὲν τὸ ὑποκείμενον, οὐ μὴν τῇ τῆς γονῆς ἐνεργείᾳ· κτιστὴ γὰρ οὐσία, σῶμα δημιουργῆσαι, οὐ δυνατή. Ἡ μέντοι δύναμις τοῦ δημιουργικοῦ Λόγου, πήγνυσι καὶ πλάττει τὸ ὑποκείμενον· πᾶσα γὰρ γένεσις, ἐξ ἀσωμάτου τινὸς χορηγεῖσθαι πέφυκε δυνάμεως. Τὸ τοίνυν ἡμαρτημένον ὡς εἴρηται τῆς σπορᾶς, ἡ τῆς θεοϋποστάτου σαρκὸς σύλληψις, οὐ προσήκατο, ἵνα μὴ τῷ νόμῳ τελεσθείη τῆς παραβάσεως. Εἰς δὲ τὸ κατορθωθῆναι τὴν ταύτης διάπλασιν, οὐδὲ τοῦτο ἐλλέλειπται· τὸ μὲν γὰρ ἅγιον Πνεῦμα, ἐπελθὸν τῇ Παρθένῳ, γόνιμον τὴν μήτραν αὐτῆς ἀπειργάσατο,
M 243r αὐτὸς δ' ‖ ἂν ὁ Κύριος, ἑαυτῷ τὴν σάρκα δημιουργῶν, καὶ τὴν εἰκόνα τοῦ ἀνθρώπου διαπλάττων, πρῶτον μὲν, ἐσκίασεν, εἶθ' οὕτως ἐμόρφωσεν, οὐ ταῖς κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου τοῦ σωματικοῦ σχήματος, ἀλλ' ὑφ' ἓν τελειωθέντος, ὥς γε δὴ καὶ τὸν πρῶτον Ἀδὰμ δεδημιουργῆσθαι παρὰ τῆς θείας γραφῆς μεμαθήκαμεν, καὶ οὕτω τὴν κατὰ μέγεθος

**A** (**1-23**), **BCDGLMOVWZ**

---

**41.** ὡς εἴρηται] vide supra § **37.**19-24

---

**36.** διαφθορᾶς BDGLZ — **36-37.** τῆς γονῆς-οὐ μὴν] om. dittography B — **37.** τῇ] sscr. B — κτιστὴ G — **38.** δυνατήν B — μέντη B — **44.** ἐλέλειπται B — **45.** ἐπελθὼν G — **47.** post ἐσκίασεν scr. τὶ σημαίνει τὸ ἐσκίασεν in marg. C — **48.** καταμικρὸν BZ — **49.** ὑφ' ἕν M: ὑφ ἓν L: ὑφὲν BGOV — **50.** ὥς γε V — δεδημιουργεῖσθαι BDOL

λαμβάνοντος αὔξησιν. Ὥστε κἀνταῦθα τὰ τοῦ σπέρματος τελεσθῆναι ὡς ἔφην, οὐδὲν ἄτοπον ἀποφαίνεσθαι. Ἄψυχον δὲ ὅλως καὶ ἀτελῆ τὴν σάρκα εἰσάγειν ἐκείνην, διὰ τῆς τοῦ ἀζύμου ἱερουργίας, οὐ θεμιτὸν τοῖς εὐσεβεῖν αἱρουμένοις. Διά τοι τοῦτο οἱ τελειωθέντες τῇ χάριτι τοῦ Χριστοῦ, τὸ κατ' ἀμφοῖν ἀτελὲς ἄζυμον, οὐ προσησόμεθα. Εἰ δέ τις ταύτην, οὐ ῥᾷστα προσίεται τὴν ἐξήγησιν, ὡς λεπτοτέραν τὲ καὶ γλαφυροτέραν, καὶ ἧς ἐθάδες, οὐ πάνυ τοι πλεῖστοι, ἀληθῆ δὲ πλέον καὶ ἀσφαλέστατα ἔχουσαν, ἢ ἀσυνήθη, ἐκ δέ γε τῶν κοινῶν καὶ καθωμιλημένων, ἀξιωμάτων τὲ καὶ δογμάτων οἴεται δεῖν, τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐπιστομίζειν, ἐξ ὧν ἄνωθεν ἔφημεν, ἱκανῶς ὀχυρωθείς, πρὸς τοὺς ἐναντίους ἀποδυέσθω. Καὶ δὴ πολὺ μὲν αὐτοῖς τὸ πρὸς πᾶσαν ἄλλην παρανομίαν φιλότιμον, ὥστε καὶ εἰ τὰ ἐκείνων πάντα βουληθείημεν κατὰ μέρος ἐπεξιέναι, καὶ τοῦ καιροῦ καὶ τοῦ προσήκοντος ἂν μέτρου τὸν λόγον ἐκτὸς ἀποτείναιμεν. Ἀλλά γε τοῖς εἰρημένοις αὐτῶν νεανιεύμασιν οὕτως ἐπ' ἔσχατα δυσσεβείας ἰοῦσι, καὶ ἕτερα προσθετέον ἄττα, μικρὸν ἢ οὐδέν, εἰς λόγον κακοδοξίας τῶν φθασάντων ἀπολειπόμενα.

**A** (**1-23**), **BCDGJ** (**66-69**), **LMOVWZ**

---

**52.** ὥστε] ὥσπερ Z — κἂν ταῦθα G — **53.** ante τελεσθῆναι scr. ση(μείωσαι) in marg. G — **54.** τοῦ] om. Z — **57.** ῥαστᾶ L — **58.** γλαφυλοτέραν BDO — **59.** πάνυ τοι CGLZ: πάνυ τι BCDMOVW — **61.** τε Z — **62.** ἐξ' ὧν LW — **63.** ἀποδϊέσθω D — **63-64.** Καὶ δὴ-τὰ ἐκείνων] *underlined* L — **63.** πρὸς] παρὰ W — **64.** εἰ] οἱ et scr. εἰ in marg. L — **65.** βουληθείημεν] post cor. (ex βουληθείη μὲν) L — καταμέρος DLZ — **66.** post ἂν ras. (1 lit.) B — μέτρου] post cor. (ex αμέτρου) B — ante ἀλλά γε sign. in marg. G: Ἐκ τοῦ β′ βιβλίου τοῦ βλαστάρεως μέρη κ(α)τ(ὰ) λατίνων Tit.J — ἀλλά γε] ἀλλ' ἄγε W — **67.** ἐπέσχατα GZ — **68.** ἅττα CGLZ — **69.** ἀπολιπόμενα B

**[38] Ὅπως παραβαίνουσι τούς κανόνες, χωρίζεσθαι προτρέποντες τοὺς χειροτονουμένους, τῶν ἰδίων γυναικῶν.**

Τοὺς χειροτονουμένους ἱερέας καὶ διακόνους ὁμολογεῖν ἀναγκάζουσιν, ἢ μὴν τελέως μετά γε τὴν χειροτονίαν ἀφέξεσθαι τῶν νομίμως συζευχθεισῶν αὐτοῖς γυναικῶν, μήτε κοινῇ τῆς θείας γραφῆς, μήτε ἰδίᾳ τῶν ἱερῶν κανόνων ἐπιστρεφόμενοι, οὓς τό πανάγιον Πνεῦμα, διὰ τῆς τῶν ἱερῶν πατέρων γλώττης ἐχρησμοδότησε, καὶ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσιν ἐπεσφράγισεν. Ὁ δ' αὖ τῶν πατέρων θεῖος χορός, τοὺς αὐθεκάστῳ γνώμῃ τὰ τούτων μὴ προσιεμένους θεσπίσματα, τῆς τῶν πιστῶν ἀφειδῶς ἠλλοτρίωσεν ὁμηγύρεως. Ὁ γὰρ τῶν ἁγίων ἀποστόλων εἰκοστὸς ἕκτος κανών, καὶ ὁ ἕκτος τῆς ἕκτης συνόδου, καὶ ὁ τῆς ἐν Καρθαργένῃ ἐκκαιδέκατος, τοῖς τῷ κλήρῳ κατειλεγμένοις, εἰς ἀναγνώστας ἔτι καὶ ψάλτας τελοῦσι, συγχωροῦσι νομίμως γαμεῖν, μετὰ δέ γε τὸ εἰς βαθμὸν προαχθῆναι, ὑποδιακόνου, ἢ διακόνου,

**A** (**3-56**), **BCDGJLMOVWZ**

---

**[38] 1-3.** Τοὺς χειροτονουμένους-γυναικῶν] cf. *Synt.*, γ', § 2, p. 152.2-6 — **9-14.** Ὁ γὰρ-οὐκέτι] cf. *Synt.*, γ', § 2, p. 151.21-26

---

**[38] 1-3.** Τοὺς χειροτονουμένους-γυναικῶν] cf. *Conc. CP Trullanum* (692), canon 13, *COGD*, p. 239.792-808; *Σύνταγμα*, pp. 333.21-30 — **9-14.** Ὁ γὰρ-οὐκέτι] cf. *Can. Apost.*, canon 26, p. 33.15-16; *Conc. CP Trullanum* (692), canon 6, *COGD*, p. 234.624-639; *Σύνταγμα*, p. 318.8-17; *Conc. Carthag.* (419), canon 16, p. 342.2-7

---

**[38] Tit.** scr. ὅπως παραβαίνουσι τοὺς κανόνας, χωρίζεσθαι προτρέποντες τοὺς χειροτονουμένους τῶν ἰδίων γυναικῶν in marg. BCDMOVGW — **1.** ante Τοὺς sign. W — post Τοὺς scr. γὰρ J — **1-2.** Τοὺς χειροτονουμένους-ἢ μὴν] *underlined* L — **2.** ἢ μὴν] γε μὴν J — **2.** ἀφέξεσθαι] εἰς δέξεσθαι Z — **7.** θείων πατέρων χορὸς J — **8.** τῆς] τοῖς L — **9.** ἠλλωτρίωσεν J — ὁμηγήρεως B — ante Ὁ γὰρ sign. et scr. ὅπως παραβαίνουσι τοὺς κανόνας, χωρίζεσθαι προτρέποντες τοὺς χειροτονουμένους τῶν ἰδίων γυναικῶν in textu A: scr. in marg. ἀπο(στόλων) κστ' καρθ(αγένη) ιστ' CLZ — **10.** εἰκοστὸς ἕκτος] κστ' ABCDGLOZ: ια' J — ἕκτος τῆς ἕκτης] ἕκτος τῆς στ' BO: στ' τῆς ἕκτης J: στ' τῆς στ' ACDGLZ — **11.** ἐκκαιδέκατος] ιστ' ABCDJLOZ — τῷ κλήρῳ] τῶν κλήρω L: τῶν κλήρων Z — κατηλεγμένοις G: κατη-|λλεγμένοις W — **12.** ἀναγνώστας ἔτι τελοῦσι καὶ ψάλτας A: ἀναγνώστας ἔπιτελοῦσι καὶ ψάλτας LZ — **13.** προαχθῆναι] προσαχθῆναι Z

ἢ πρεσβυτέρου, οὐκέτι. Ὁ δὲ πέμπτος τῶν ἁγίων ἀποστόλων, καὶ
15 τὸν προφάσει εὐλαβείας τὴν ἑαυτοῦ γυναῖκα ἐκβάλλοντα,
M 243v ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἀφορίζει, ‖ μέχρις ἂν
αὖθις προσλάβηται· ἐπιμένοντα δέ, καθαιρεῖ. Ὅ γε μὴν δωδέκατος
τῆς ἕκτης συνόδου, μόνους τοὺς ἀρχιερεῖς ἀπεῖρξε, τὴν πρὸ τῆς
χειροτονίας νόμιμον ἔχειν γυναῖκα, τὸ εὔσχημον ἐντεῦθεν τῆς τοῦ
20 Θεοῦ προμηθούμενος ἐκκλησίας. Τῶν ἱερέων δὲ πέρι καὶ
διακόνων, ὁ τρισκαιδέκατος τῆς αὐτῆς συνόδου κανών,
ἐξεπίτηδες ὑπὲρ τούτου τῆς τῶν Λατίνων καθαπτόμενος
ἐκκλησίας, καὶ φανερῶς ἀνατρέπων τὸ παρ' ἐκείνοις κρατῆσαν
τοιοῦτον ἔθος, *ἡμεῖς* φησι καὶ μετὰ τὴν χειροτονίαν, *ἐρρῶσθαι*
25 *τὰ συνοικέσια βουλόμεθα*, τῶν ἀξίως τῆς ἱερωσύνης ἠξιωμένων,
ἵνα μὴ λάθωμεν, τὸν εὐλογηθέντα *τῇ* τοῦ Κυρίου *παρουσίᾳ γάμον*
*ὑβρίζοντες*· πρὸς δέ, καὶ ἀποφηναμένου, *«ἃ ὁ Θεὸς συνέζευξεν,*
*ἄνθρωπος μὴ χωριζέτω»*, καὶ μὴν καὶ ὁ Ἀπόστολος, *«τίμιον εἶναι*
*τὸν γάμον»* ἐπιστέλλει, *«καὶ τὴν κοίτην ἀμίαντον»*, καὶ πάλιν
30 *«δέδεσαι γυναικί; μὴ ζήτει λύσιν»*. Ὁ τοίνυν *ἀποστερῶν διάκονον,*

**A** (**3-56**), **BCDGJLMOVWZ**

---

**14-17.** Ὁ δὲ-καθαιρεῖ] cf. *Synt.*, γ′, § 16, pp. 185.27-186.4 — **17-20.** Ὅ γε-ἐκκλησίας] cf. *Synt.*, γ′, § 17, p. 189.20-23 — **20-33.** Τῶν ἱερέων-μεταχειρήσεως] cf. *Synt.*, γ′, § 2, p. 152.2-18

---

**14-17.** Ὁ δὲ-καθαιρεῖ] *Can. Apost.*, canon 5, p. 7.14-16; cf. Nicet. Steth., *Dial. de azym.*, p. 338.17-20 — **17-20.** Ὅ γε-ἐκκλησίας] cf. *Conc. CP Trullanum* (692), canon 12, *COGD*, p. 238.769-771; *Σύνταγμα*, p. 330.21-25 — **24-32.** ἡμεῖς-καθαιρείσθω] *Conc. CP Trullanum* (692), canon 13, *COGD*, pp. 239.797-802, 239.816-823, 240.845-848; *Σύνταγμα*, pp. 333.24-27, 334.5-10, 334.24-26; cf. Nicet. Steth., *Dial. de azym.*, pp. 339.23-340.14 — **28-29**. ἃ-χωριζέτω] Heb. 13:4 — **29-30**. τίμιον-λύσιν] 1 Cor. 7:27

---

**14.** οὐκ ἔτι BGWZ — ante Ὁ δὲ scr. ἀπο(στόλων) ε′ in marg. ACLZ — πέμπτος] ε′ ABCGJLZ — **17.** ante Ὅ γε scr. συν(όδου) στ′ ιβ′ in marg. AC: scr. συν(όδου) στ′ in marg. L — **17-18.** δωδέκατος τῆς ἕκτης] δωδέκατος τῆς στ′ BDO: ιβ′ τῆς στ′ ACGJLZ — **18.** post συνόδου scr. κανὼν W — **20.** ante Τῶν ἱερέων scr. συν(όδου) στ′ ιγ′ in marg. CL — καὶ] sscr. B — **21.** τρισκαιδέκατος] ιγ′ ACDGJLOZ — αὐτῆς] om. B — **22.** ἐξεπέτηδες Z — **24.** φησὶ BDGJ — ἐῤῥῶσθαι J: ἱερῶσθαι A: — **26.** γάμον τῇ τοῦ κυρίου παρουσία Z — **27.** ἀποφαινομένου J — **29.** καὶ] om. AZ — **30.** ζείτει J — ἀποστερρῶν V

ἢ πρεσβύτερον, τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας, καθαιρείσθω, ἐκτὸς τοῦ ὡρισμένου καιροῦ, τῆς τῶν ἁγίων μεταχειρήσεως. Ὁ δὲ πεντηκοστὸς πρῶτος τῶν ἁγίων ἀποστόλων κανών, τοὺς μὴ δι' ἄσκησιν καὶ ἐγκράτειαν, ἀλλ' ὡς βδελυκτῶν ἀπεχομένους γάμου, καὶ οἴνου καὶ κρεῶν, κληρικοὺς μέν, καθαιρεῖ, λαϊκοὺς δέ, ἀφορίζει, ὡς βλασφημοῦντας καὶ διαβάλλοντας τὴν τοῦ Θεοῦ δημιουργίαν· πάντα γὰρ καλὰ λίαν ἐποίησεν ὁ Θεός, καὶ ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. Ὁ δὲ πρῶτος τῆς ἐν Γάγγρᾳ συνόδου, τῷ ἀναθέματι παραπέμπει, ὃς ἀκάθαρτον εἶναι τὸν νόμιμον γάμον ἡγεῖται. Ταύτην καὶ ὁ τέταρτος τὴν δίκην ἐπανατείνεται, τῷ διακρινομένῳ μεταλαμβάνειν, παρὰ πρεσβυτέρου γεγαμηκότος. Τῇ τοιαύτῃ καὶ ὁ δέκατος ὑπάγει εὐθύνῃ, καὶ τὸν παρθενίαν δῆθεν μετιόντα, καὶ τῶν γαμούντων κατεπαιρόμενον, καὶ κατακρίνοντα τούτους. Καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ, δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικός ἄνδρα· διάκονοι ἔστωσαν, μιᾶς γυναικός ἄνδρες. Καὶ αὖθις, ἐν ὑστέροις καιροῖς,

**A** (**3-56**), **BCDGJLMOVWZ**

---

**33-39.** Ὁ δὲ-ἄνθρωπον] cf. *Synt.*, γ', § 9, p. 165.3-8 — **39-40.** Ὁ δὲ- ἡγεῖται] cf. *Synt.*, β', § 9, p. 141.28-29 — **41-42.** Ταύτην-γεγαμηκότος] cf. *Synt.*, β', § 9, p. 142.7-9

---

**33-39.** Ὁ δὲ-ἄνθρωπον] cf. *Can. Apost.*, canon 51, p. 67.13-19 — **39-40.** Ὁ δὲ-ἡγεῖται] *Conc. Gangr.* (*c.*340), canon 1, p. 100.8-11 — **41-42.** Ταύτην-γεγαμηκότος] *Conc. Gangr.* (*c.*340), canon 4, p. 103.24-26 — **43**. ὁ δέκατος] cf. *Conc. Gangr.* (*c.*340), canon 10, p. 106.25-27 — **45-46.** δεῖ τὸν-ἄνδρα] 1 Tim. 3:2 — **46-47.** διάκονοι-ἄνδρες] 1 Tim. 3:12 — **47-49.** ἐν-γαμεῖν] 1 Tim. 4:1-3

---

**32.** ὁρισμένου W — **33.** μεταχειρίσεως BJOV — ante Ὁ δὲ scr. ἀπο(στόλων) να' in marg. ACLZ — πεντηκοστὸς πρῶτος] να' ABCDGLOZ: μγ' J — ἁγίων] om. J — **34.** κανών] om. BDOV — διάσκησιν Z — **38.** καὶ] om. J — **39.** πρῶτος] α' ABGLWZ — ante Ὁ δὲ Γάγγρ(α) α' in marg. ACLZ — **40.** post παραπέμπει scr. et cnc. (incl. in punc.) παραπέμπει dittography W — ηγεῖται B — **41.** ante Ταύτην scr. δ' in marg. CL — τέταρτος] δ' ABCDGJLOZ — **42.** μεταλαμβάνειν] λαμβάνειν ACLZ — πρεσβυτέρου in ras. et sscr. ρ B — ante Τῇ τοιαύτῃ scr. ι' in marg. CL — Τῇ] om. V — τοιαύτῃ in ras. B — post τοιαύτῃ scr. δὲ W — **43.** δέκατος] ι' ACDGJL — ὑπάγει] ἐπάγει AZ — εὐθύνη ὑπάγει GJ — παρθενία Z — δῆθεν] δῆ W — **44.** κατεπαιρόμενον] post cor. (ex καταιπαιρόμενον) Z — **45.** πρώτῃ] α' WZ

ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνης, κεκαυτηριασμένοι τὴν ἰδίαν συνείδησιν, κωλύοντες γαμεῖν. Πρὸς δὲ Τίτον γράφων, κατάστησον κατὰ πόλιν φησὶ πρεσβυτέρους ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ. Οὐδαμοῦ δὲ τῆς συνοικούσης ἀπείργεσθαι τὸν ἱερωμένον διακελεύεται· εἰ γὰρ καὶ ἡ παρθενία τιμιωτέρα, ἀλλ' οὐκ ἐν τοῖς
M 244r ἀτίμοις ‖ ὁ γάμος, δι' οὗ τὸ γένος αὔξεται καὶ ἀθάνατον ὡσπερεὶ διαμένει, ἀνθισταμένου τῇ παρὰ τοῦ θανάτου φθορᾷ, ἀεὶ τὸ ἐκρέον ἀναπληροῦντος ἐκείνου.

**A** (**3-56**), **BCDGJLMOVWZ**

---

**50-51.** κατάστησον-ἀνήρ] Tit. 1:5-6

---

**48.** ἀποστήσονται τινὲς GJ — πνεύμασι] om. J — **49.** κεκαυτηριασμένοι] καὶ καυτηριασμένοι Z — **50.** Τίτον V — φησὶ κατὰ πόλιν ACLZ — **51.** post εἴ τις add. ἐστὶν G — ἀνέγκλυτος G — **55.** παρὰ] om. W — **56.** ἐκρέον] ἐκ ῥεον M: ἐκ ῥέον AGW

**[39] Ὅτι ἀθέσμως νηστεύουσι καὶ καταλύουσιν.**

Φέρε δὴ καὶ νηστεύοντας αὐτοὺς ἀθέσμως, καὶ αὖθις ἀνιεμένους ἔσθ' ὅπη καὶ καταλύοντας, καὶ παρανομοῦντας ἑκατέρωθεν, ἐκ τῶν ἱερῶν κανόνων, ἐλέγξωμεν, οἷα μὴ κατὰ μικρὸν γοῦν ἀνεχομένους παρανομεῖν, ἀλλ' ὥσπερ ἐξεπίτηδες ὁμόσε χωροῦντας ἐπ' αὐτὰ τοῦ εὐαγγελίου τὰ καίρια, καὶ τὰς τῶν κανόνων νομοθεσίας. Ἀπειρημένης τῆς ἐν Σαββάτῳ νηστείας, οὗτοι τηνικαῦτα μᾶλλον νηστεύουσι, καίτοι τοῦ ἑξηκοστοῦ ἕκτου τῶν ἁγίων ἀποστόλων κανόνος, σαφῶς οὐτωσὶ λέγοντος, *εἴ τις κληρικὸς εὑρεθείη τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ Σάββατον, πλὴν ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.* Ὁ δὲ πεντηκοστὸς πέμπτος, τῆς ἕκτης συνόδου, τὸν ἀποστολικὸν τουτονὶ κανόνα διέξεισι, καὶ τοῖς *ἐν τῇ πόλει Ῥωμαίων* ἐπισκήπτει τοῦτον μὴ παραβαίνειν, μὴ δὲ *νηστεύειν τοῖς Σάββασι τῆς ἁγίας Τεσσαρακοστῆς*. Εἰ καὶ εἰς οὐδὲν τὰ τοῦ κανόνος αὐτοῖς ἐλογίσθησαν —ἐπικεχείρηκε μὲν γάρ, ἡ ἁγία σύνοδος αὕτη, καὶ κατὰ τοῦτο σφαλλομένους ἤδη διορθώσασθαι

**ABCDGJLMOVWZ**

---

**[39] 6-11.** Ἀπειρημένης-ἀφοριζέσθω] cf. *Synt.*, κ', § 37, p. 346.19-21 — **11-14.** Ὁ δὲ-Τεσσαρακοστῆς] cf. *Synt.*, κ', § 37, p. 347.2-6

---

**[39] 8-11.** εἴ τις-ἀφοριζέσθω] *Can. Apost.*, canon 66, p. 84.12-14; cf. Nicet. Steth., *Dial. de azym.*, p. 336.7-9 — **11-14.** Ὁ δὲ-Τεσσαρακοστῆς] cf. *Conc. CP Trullanum* (692), canon 55, *COGD*, p. 267.1815-1828; *Σύνταγμα*, p. 434.16-23

---

**[39] Tit.** scr. ὅτι καὶ ἀθέσμως νηστεύουσι καὶ καταλύουσιν (οἱ λατίνοι A) in textu A: scr. in marg. BCDGMOV — **2.** ἔσθ' ὅπη] ἔσθ' ὅτε J — **3.** ἐλέγξωμεν] λέγξωμεν LZ — **5.** χωροῦντας] χοροῦντας et sscr. ω (per χωροῦντας) D — αὐτὰ] αὐτῶ B — **6.** ante ἀπειρημένης scr. in marg. Tit. ὅτι ἀθέσμως νηστεύουσι καὶ καταλύουσι L: alt. man scr. in marg. ψευδῆ ἄντικρυς λέγεις L — ἀπειρημένης] πειρημένης DZ — **7.** οὗτοι G — **7-8.** ἑξηκοστοῦ ἕκτου] ξστ' ABCDGLOZ: κστ' J — **8.** κανόνος τῶν ἁγίων ἀποστόλων AGJ — **10.** μόνου] post cor. (ex μόνος) Z — δὲ] sscr. Z — **11.** πεντηκοστὸς πέμπτος, τῆς ἕκτης] πεντηκοστὸς πέμπτος, τῆς στ' DO: νε' τῆς ἕκτης W: νε' τῆς στ' ABCGJL — **12.** διέξησι Z — τῇ] om. GJ — **14.** σάββασιν Z — **15.** ἐπικεχείρηκε μὲν γὰρ] post cor. (ex ἐπικεχείρη γὰρ et sscr. κεν et μὲν) Z: scr. ἐπικεχείρηκ(εν) μὲν γὰρ in marg. Z: ἐπικεχείρικε μὲν γὰρ JW — **16.** αὕτη σύνοδος B — σφαλομένους BGW

τοὺς Λατίνους, ἀλλ' ἀδιόρθωτοι μεμενήκασιν, ὡς ἀλαζόνες τὲ καὶ αὐθέκαστοι—, μήτε τῶν ἀποστολικῶν κανόνων, μήτε τούτου ἐπιστρεφόμενοι, καὶ μήτε τὴν καθαίρεσιν οἱ ἱερᾶσθαι νομίζοντες εὐλαβούμενοι, μήθ' οἱ τοῦ λαοῦ τὸν ἀφορισμόν. Μᾶλλον γε μὴν τοσοῦτον γεγόνασι χείρους, ὥσθ' ἵνα μέν, τούσδε φανῶσι διαγράφοντες τοὺς κανόνας, ἐν τοῖς ἄλλοις τοῦ χρόνου Σάββασι, παρανόμως νηστεύουσι, καὶ προστιθέντες τῇ παρανομίᾳ, τὴν μὲν τοῦ Σαββάτου κατάλυσιν, ἐπὶ τὴν Τετράδα μετενηνόχασι καὶ Παρασκευήν, τὴν δ' ἐν ἐκείναις νηστείαν, ἐπὶ τὸ Σάββατον· ἵνα δὲ τὸν πεντηκοστὸν ἕκτον αὖθις τῆς αὐτῆς ἀθετήσωσι συνόδου, τὴν τῶν Ἀρμενίων διορθούμενον πλάνην, καὶ κελεύοντα, *ἐν τοῖς Σάββασι καὶ Κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς τυροῦ καὶ ὠῶν* ἀπέχεσθαι, οὗτοι, μὴ ὅτι τούτων, ἀλλά γε καὶ κρεῶν ἐν αὐταῖς ταύταις ἅπτονται ταῖς ἡμέραις, καὶ οὐχ οἱ τοῦ δήμου μόνον, ἀλλὰ καὶ τῶν μοναχῶν οἱ ἀσθενῶς δῆθεν τοῦ σώματος ἔχοντες, ἔργον ὡσανεὶ ποιούμενοι, πάντα νόμον ἱερὸν ἐκ περιουσίας, τιθέναι ἀνάστατον. Οὐδὲν δὲ οἷον, καθ' ὅσων χωροῦσι κανόνων, κἀκ τῆς τελείας αὐτῶν ἱερουργίας διαλαβεῖν, ἣν ἐφ' ἑκάστῃ τελοῦσι τῶν ‖

**ABCDGJLMOVWZ**

---

**17-25.** ἀλλ'-Σάββατον] cf. *Synt.*, τ', § 5, p. 457.3-10 — **25-33.** ἵνα δὲ-ἀνάστατον] cf. *Synt.*, τ', § 5, p. 457.12-25

---

**22-25.** ἐν τοῖς-Σάββατον] cf. *Conc. CP Trullanum* (692), canon 55, *COGD*, p. 267.1816-1828; *Σύνταγμα*, p. 434.16-23 — **27-28.** ἐν τοῖς-ὠῶν] cf. *Conc. CP Trullanum* (692), canon 56, *COGD*, pp. 267.1833-268.1848; *Σύνταγμα*, p. 436.2-11

---

**17.** μεμεινήκασιν Z — **21.** ἵνα μὲν] post cor. (ex ἕνα μὲν) O — **22.** σάββασι σάββασιν Z — **23.** νηστεύοντες L — **24-25.** τετράδην καὶ παρασκευήν μετενηνόχασι J — **25.** ἐκείνοις JLZ — **26.** πεντηκοστὸν ἕκτον] ν' ἕκτον W: νστ' ABCDGJLOZ — ante αὖθις scr. ἁρμένιοι in marg. L — τῆς] om. DO — **27.** ἁρμενίων ACGJLMVWZ — διορθούμενοι GJ — **29.** ἀλλά γε] ἀλλ' ἄγε W — **30.** οὐχ οἱ] οὐχ' οἱ W: οὐχοὶ B: οὐχὶ AGJ — **31.** σώματος] σώμτος M — **33.** οὐδέν δε L: ὐδέν δὲ B — οἷων Z — καθόσων Z — post χωροῦσι sign. V — κανόνων] om. V — **34.** ἣν] post cor. (ex ἧν) L

M 244v ἡμερῶν τῆς τεσσαρακονθημέρου νηστείας, ἀλλὰ δὴ καὶ τοῦ κρεοφαγεῖν ἐν τῇ πρώτῃ τῆς αὐτῆς νηστείας ἑβδομάδι, καὶ τῇ πρὸ ταύτης τυροφάγῳ, πᾶσαν ἐντεῦθεν τὴν ἱερὰν νηστείαν βεβηλοῦντες καὶ ἀτιμάζοντες· *οὗ γὰρ ἡ ἀρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον*, ἔφη τὶς τῶν ἡμετέρων σοφῶν. Ὁ γέ τοι τεσσαρακοστὸς ἔνατος τῆς ἐν Λαοδικείᾳ συνόδου κανών, *οὐ δεῖ φησιν ἐν τῇ Τεσσαρακοστῇ, ἄρτον προσφέρειν*, εἴτουν τελείαν ἱεροτελεστίαν ποιεῖν, *εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον*. Ὁ δὲ πεντηκοστὸς δεύτερος τῆς ἕκτης συνόδου, *ἐν* μὲν ταῖς *ἄλλαις τῆς ἁγίας Τεσσαρακοστῆς ἡμέραις*, οἷα πενθεῖν προστεταγμένον, τὴν *τῶν προηγιασμένων λειτουργίαν* κελεύει τελεῖσθαι, ἐν δέ γε τοῖς *Σάββασι* καὶ ταῖς *Κυριακαῖς* αὐτῆς, *καὶ τῇ ἁγίᾳ τοῦ εὐαγγελισμοῦ ἡμέρᾳ*, ἐπείπερ ἐν ταύταις νηστεύειν οὐκ ἔννομον, καὶ τελείαν γίνεσθαι λειτουργίαν θεσπίζει, μεγάλων γὰρ μυστηρίων, τὰ ἔθη ταῦτα πεπλήρωται, τῇ σιωπῇ καλυπτόμενα καὶ τιμώμενα πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές, ἵνα μὴ τῇ συνηθείᾳ εὐκαταφρόνητος ἡ τῶν δογμάτων γνῶσις τοῖς πολλοῖς γίγνοιτο. Καὶ οὐ δεῖ ταῦτα μετατιθέναι ἢ ἀνατρέπειν· φησὶ γὰρ ὁ μέγας

**ABCDGJLMOVWZ**

---

**39-42.** Ὁ γέ-μόνον] cf. *Synt.*, τ′, § 5, p. 460.7-9 — **42-48.** Ὁ δὲ-θεσπίζει] cf. *Synt.*, τ′, § 5, pp. 457.29-458.1

---

**39-42.** οὐ δεῖ-μόνον] *Conc. Laodic.* (325/381), canon 49, p. 216.18-19; cf. Nicet. Steth., *Dial. de azym.*, p. 336.22-23 — **43-47.** ἐν μὲν-ἡμέρᾳ] cf. *Conc. CP Trullanum* (692), canon 52, *COGD*, p. 265.1756-1761; *Σύνταγμα*, p. 427.5-8; Nicet. Steth., *Dial. de azym.*, p. 337.3-5 — **38-39.** οὗ γὰρ-ἀπόβλητον] Basil. Caes., *Jejun.*, col. 192.1-2

---

**36.** κρεωφαγεῖν GJLZ — **38-39.** ἀπόβλητος, καὶ τὸ πᾶν ἀδόκιμον GJ — **39-40.** τεσσαρακοστὸς ἔνατος] μθ′ ABCGJLZ — **40.** συνόδω G — φησὶν JZ — **41.** εἴτουν] εἴτ′ οὖν G — **42.** ante Ὁ δὲ scr. σημ(είωσαι) | περὶ τ(ῆς) προηγ[ιασμένης] in marg. C — **42-43.** πεντηκοστὸς δεύτερος τῆς ἕκτης] πεντηκοστὸς δεύτερος τῆς στ′ O: νβ′ τῆς ἕκτης JW: νβ′ τῆς στ′ ABCDGLZ — **44.** ἁγίας] om. J — οἷα V — post προστεταγμένον scr. et del. λει (per λειτουργία) L — **47.** ἔννομον] ἔνομον et ν sscr. (per ἔννομον) L: ἔνομον A — **49.** τιμόμενα G — **52.** ante φησὶ scr. [β]ασιλ(είου) in marg. G

Βασίλειος, *εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα ἔθη* τῶν δογμάτων, *ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἄν, εἰς ὄνομα ψιλὸν περιϊστάντες τὸ κήρυγμα· τὰ μὲν γὰρ δόγματα, σιωπᾶται, τὰ δὲ κηρύγματα, δημοσιεύεται*. Ὁ δὲ ἑξηκοστὸς ἔνατος τῶν ἁγίων ἀποστόλων κανών, τοὺς μὴ νηστεύοντας *τὴν ἁγίαν Τεσσαρακοστήν, ἢ Τετράδα ἢ Παρασκευήν, σωματικῆς ἀσθενείας ἐκτός, ἱερωμένους μὲν ὄντας, καθαιρεῖ, τοὺς δὲ τοῦ λαοῦ,* ἀφορίζει. Τελείας δὲ λειτουργίας γινομένης, κατὰ τὴν τρίτην τῆς ἡμέρας ὥραν ὡς σύνηθες, *πῶς τὰ τῆς νηστείας ἂν τηρηθείη*, ἥτις ἄχρι τῆς ἐνάτης ἡμερινῆς ὥρας λογίζεται, λυόντων ἡμῶν αὐτήν, ἐν τῷ τῆς λειτουργίας καιρῷ;

**ABCDGJLMOVWZ**

---

**56-60.** Ὁ δὲ-ἀφορίζει] cf. *Synt.*, ν', § 4, pp. 397.19-398.4

---

**56-60.** Ὁ δὲ-ἀφορίζει] cf. *Can. Apost.*, canon 69, p. 88.12-16 — **53-56.** εἰ γὰρ-δημοσιεύεται] Basil. Caes., *Spir. Sanc.*, § 27.66.7-10, 56-57, pp. 480, 484

---

**54.** τὴν] om. J — λάθοιμεν] post cor. (ex λάθοι-|μὲν) L — **55.** περιστάντες A — **56.** ἑξηκοστὸς ἔνατος] ξθ′ ABCDGJLOZ — **58.** παρα(σκευὴν) G — **60.** δὲ] δὴ BDGJMOV — **60-61.** ὥραν τῆς ἡμέρας Z — **61.** ὥραν] om. B — πῶς ἂν τὰ τῆς νηστείας ALZ — **62.** ἐνάτης] θ′ ACGJLZ — ἡμερινῆς ὥρας] ὥρας τῆς ἡμερινῆς GJ — ἡμῶν] post cor. (ex ἡμερῶν) L — αὐτήν] sscr. B

**[40] Πῶς δὲ καὶ αἱ γυναῖκες παρ' αὐτοῖς εἰς τὸ ἅγιον εἰσέρχονται θυσιαστήριον, παρὰ κανόνας.**

Ποῦ δὲ τὴν τῶν ἁγίων θυσιαστηρίων βεβήλωσιν θήσομεν, ὡς καὶ γυναιξὶν ἐφεῖσθαι βαίνειν ἀδεῶς ἐπ' αὐτά, καὶ τὴν ἱερὰν ταύτας περιΐστασθαι τράπεζαν ἀνερυθριάστῳ προσώπῳ, ἱερουργοῦντος τοῦ ἱερέως, λαϊκοὶ δὲ ἄνδρες, καὶ ἐν αὐτῷ τῷ θυσιαστηρίῳ καθῆσθαι, οὐ φρίττουσιν, ἱσταμένων αὐτοῖς τῶν ἱερουργούντων! Καίτοι τοῦ μὲν ἐξηκοστοῦ ἑνάτου τῆς ἕκτης συνόδου κανόνος, *μὴ ἐξεῖναι* κελεύοντος *τινὶ τῶν* τοῦ λαοῦ ἐντὸς ἱεροῦ *εἰσιέναι θυσιαστηρίου, μηδαμῶς ἐπὶ τούτῳ εἰργομένου τοῦ βασιλέως, ἡνίκα*
M 245r *ἂν βουληθείη* ‖ *προσαγαγεῖν δῶρα τῷ πλάσαντι, κατὰ ἀρχαίαν παράδοσιν*. Τοῦ δὲ ἐννεακαιδεκάτου τῆς ἐν Λαοδικείᾳ, *μόνοις ἐξεῖναι λέγοντος τοῖς ἱερατικοῖς, εἰς τὸ ἅγιον εἰσιέναι θυσιαστήριον καὶ κοινωνεῖν*. Τοῦ δὲ τεσσαρακοστοῦ τετάρτου, τὰς *γυναῖκας* καθόλου ἀπείργοντος εἰς τὸ ἅγιον εἰσιέναι *θυσιαστήριον*.

**ABCDGJLMOVWZ**

---

**[40] 6-10.** Καίτοι-παράδοσιν] cf. *Synt.*, β′, § 6, pp. 123.24-124.6 — **10-12.** Τοῦ δὲ-κοινωνεῖν] cf. *Synt.*, ε′, § 35, p. 299.21-26 — **12-14.** Τοῦ δὲ-θυσιαστήριον] cf. *Synt.*, γ′, § 22, pp. 196.31-197.3

---

**[40] 6-10.** Καίτοι-παράδοσιν] cf. *Conc. CP Trullanum* (692), canon 69, *COGD*, p. 275.2086-2095; *Σύνταγμα*, p. 466.2-6 — **10-12.** Τοῦ δὲ-κοινωνεῖν] *Conc. Laodic.* (325/381), canon 19, p. 188.7-8 — **12-14.** Τοῦ δὲ-θυσιαστήριον] cf. *Conc. Laodic.* (325/381), canon 44, p. 212.2-3

---

**[40] Tit.** scr. (πῶς δὲ om. D) καὶ γυναῖκες παρ' αὐτοῖς εἰς τὸ ἅγιον εἰσέρχονται θυσιαστήριον παρὰ κανόνας in textu A: scr. in marg. BCDGLMOVW — **1.** ante Ποῦ δὲ sign. W — Ποῦ] Τοῦ AW — post βεβήλωσιν add. ποῦ A — θήσωμεν GJW — **2.** ταύτας] ταύταις J: ταύτην Z — **3.** περιΐστασθαι] περιΐστασθα V — **4.** θυσιαστηρίῳ] φυσιαστηρίω B — **4-5.** καθῆσθαι τῶ θυσιαστηρίω ACLZ — **5.** καθῆσθαι] post cor. (ex καθεῖσθαι) GZ — τῶν] (καὶ) J — **6.** ἱεροουργούντων L — ἐξηκοστοῦ ἑνάτου τῆς ἕκτης] ξθ′ τῆς ἕκτης BJO: ξθ′ τῆς στ′ ACDGLZ — **7.** κελεύοντος] post cor. (ex κέλεύοντος) L — **8.** εἰσιέναι τοῦ ἱεροῦ J — **9.** πλάσαντι] κ(υρί)ω G: κυρίω J — **10.** παράδωσιν J — δὲ] om. JZ — ἐννεακαιδεκάτου] ιθ′ ABCDGJLMOWZ: ἐννακαιδεκάτου V — **11.** λαοδικεί(ας) Z — μόνοις] μόνος L — **12-13.** τεσσαρακοστοῦ τετάρτου] μδ′ ABCDGJLZW

**[41] Ὅτι ἐν τῇ ἁγίᾳ μεταλήψει, ὁ εἷς τῶν ἱερουργούντων μεταλαβών, τοὺς ἄλλους ἀσπάζεται.**

Ἀλλὰ καὶ τοῦτο φασὶ τοὺς αὐτῶν ἱερέας ἀνιέρως ἐπιτολμᾶν· τὴν γὰρ θείαν οὗτοι, λειτουργίαν ἅμα τελοῦντες, οὐ πάντες ἐπίσης τῶν θείων δώρων μεταλαμβάνουσιν, ἀλλ' εἷς ἐξ ἐκείνων ταῦτα φαγών, ἀσπασμῷ μόνῳ τοῖς ἄλλοις ἀφοσιοῦται τὴν μέθεξιν· ὅ μοι δοκεῖ μυθικῆς τερατολογίας ἄντικρυς γέμειν, τὸ οἴεσθαι δύνασθαι ταὐτὸ τῇ μεταλήψει τὸν ἀσπασμόν· *λάβετε* γάρ φησιν ὁ Δεσπότης *φάγετε*· οὐ μὴν «ὁ φαγών, ἀσπαζέσθω τοὺς ἄλλους».

**[42] Ὅτι λέγουσιν αὐτούς, εἰς μίαν βαπτίζειν κατάδυσιν.**

Εἰ δὲ καὶ εἰς μίαν κατάδυσιν ἀληθῶς βαπτίζουσιν ὥς τινες λέγουσι, καὶ ἀντὶ τοῦ θείου μύρου σιάλῳ τὸν βαπτιζόμενον ἐπιχρίουσιν, οὐδεὶς ἡμῖν κοινὸς ἔτι πρὸς αὐτοὺς λόγος, ἐκ διαμέτρου τῇ περὶ τὸ θεῖον δόξῃ πρὸς ἡμᾶς ἱσταμένους.

**ABCDGJLMOVWZ**

---

**[42] 1-4.** Εἰ δὲ-ἱσταμένους] cf. *Synt.*, *α'*, § 2, p. 67.16-20

---

**[41] 6-7.** *λάβετε-φάγετε*] Matth. 26:26 — **[42] 1-2.** τινες λέγουσι] cf. supra, p. 67

---

**[41] Tit.** scr. ὅτι ἐν τῇ ἁγ(ία) μεταλήψει ὁ εἷς τῶν ἱερουργούντων μεταλαβών, τοὺς ἄλλους ἀσπάζεται in textu A: scr. in marg. CDGLMVW — **1.** ante Ἀλλὰ sign. BW — ἀνιέρους ἐπιτολμᾶν ἱερέας GJ — **2.** ἅμα] om. J — **3.** ἐξεκείνων A — **4.** μόνῳ] μονὸν LZ — ἄλλοις J — **7.** φάγετε] φέγετε J — ἀσπαζέσθω] post cor. (ex ἀσπάζέσθω) W: ἀσπαζέτω A

**[42] Tit.** scr. ὅτι (ἔτι G) λέγουσιν αὐτοὺς καὶ εἰς μίαν βαπτίζειν κατάδυσιν in textu A: scr. in marg. BCDLMOVZW — **1.** ante Εἰ δὲ sign. D: scr. ψεῦδος οἱ τοῦτο λέγοντες *λέγουσιν* ἄντικρυς in marg. L — post κατάδυσιν scr. ὡς J — **2.** σιάλῳ] σιέλω GJ — **3.** ἡμῖν] ἡμῶν W — κοινὸς] κοινωνὸς Z — αὐτοὺς] αὐτοῖς D

**[43] Πότε ἤρξατο τὰ τῆς εὐσεβείας, χωλεύειν παρ' αὐτοῖς.**

Μέχρι μὲν οὖν τούτου, τὰ τῆς ὀρθοδόξου πίστεως δόγματα, καὶ οἱ τῶν ἱερῶν κανόνων θεσμοὶ πρὸς τῆς πρεσβυτέρας ἐπρεσβεύοντο Ῥώμης, μέχρις οὗ τοῖς τῶν Ῥωμαίων σκήπτροις ὑποτελὴς φόρου καὶ αὕτη οὖσα ἐτύγχανεν. Ἐπεὶ δ' ὑπ' ἀρχὴν ἑτέραν ἐγεγόνει, καὶ τὰ τῶν ὀρθῶν δογμάτων τὲ καὶ κανόνων χωλεύειν ἤρξατο παρ' αὐτῇ, *ἐπὶ μὲν γὰρ τοῦ πρώτου Ἰουστινιανοῦ, τῇ Ἰταλίᾳ ἐπῆλθον οἱ Φράγγοι, τοῦ ἔθνους ὄντες τῶν Γερμανῶν, καὶ ἦσαν* ταύτῃ *πολέμιοι· ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου, ὁ τότε πάπας Γρηγόριος,* τῆς *κακοδοξίας* αὐτὸν βδελυξάμενος, κατὰ τῶν θείων εἰκόνων τηνικαῦτα λυττήσαντα, *ἀποστασίαν* τὲ ἐμελέτησεν, οὐκέτι *δασμοφορεῖν* τῷ δυσσεβεῖ ἀνασχόμενος, μὴ ἄρα ἐκβιασθείη κοινωνεῖν τὲ αὐτῷ, καὶ τοῖς αὐτοῦ δυσσεβεστέροις προστάταις *τῆς ἐκκλησίας Κωνσταντινουπόλεως*, καὶ οὕτω *τοῖς Φράγγοις ἐσπείσατο· ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης, ὁ πάπας Λέων*, ὃς μετὰ τὸν ἁγιώτατον Ἀδριανὸν κεχειροτόνητο, ἀνὴρ καὶ οὗτος τίμιος, *καὶ εἰς τὴν Ῥώμην αὐτοὺς εἰσεδέξατο*, καὶ τὸν αὐτῶν

**ABCDGJLMOVWZ**

---

**[43] 6-20.** ἐπὶ μὲν-κατεκυρίευσαν**]** cf. Ioh. Zonaras, *Epit. hist.*, § 13, pp. 299.3-300.2

---

**[43] Tit.** scr. πότε ἤρξατο τὰ τῆς εὐσεβεί(ας) χωλεύειν παρ' αὐτοῖς in marg. CDGMOVW: scr. πότε τὰ τῆς εὐσεβείας ἤρξατο χωλεύειν παρ' αὐταῖς in textu A: scr. in marg. L: add. ἐν τῷ ,Ϛῳσῳμῳ G — **2-3.** ῥώμης ἐπρεσβεύοντο A — **4.** Ἐπεὶ δ' ὑπ' ἀρχὴν] ἐπεὶ δ' ὑπερ ἀρχὴν Z: ἐπεὶ δ' ὑπαρχ(ὴν) G: ἐπεὶ δ' ἀπαρχὴν J — **5.** ὀρθῶν] ὀρθοδόξων ACLZ — δογμάτων τε JZ — **7.** ἦσαν L — **8.** ἰσαύρου BO — **9.** αὐτὸν] αὐτῶν Z — **10.** ἀποστασίαν τε BJ — ἐμελέτησεν] μελετήσαντα J — post ἐμελέτησεν scr. καὶ Z — **11.** οὐκέτι] οὐκ ἔτι GW — **13.** τοῖς] om. GJ — **14.** ἐσπίσατο W — **15.** καὶ] om. L — **16.** αὐτῶν] om. GJ: post cor. (ex αὐτὸν) W

ῥῆγα Κάρουλον ταινιώσας, βασιλέα Ῥωμαίων ἀνηγόρευσε, τούτοις ἀμειβόμενος αὐτόν, ἀνθ' ὧν μετήει τοὺς ἐκτυφλῶσαι τοῦτον ἐπιχειρήσαντας. Καὶ οὕτω τῆς Ἰταλίας ἁπάσης οἱ Φράγγοι κατεκυρίευσαν. Ἐντεῦθεν εἰς τὸν θρόνον τῆς αὐτῶν ἐκκλησίας ἔνιοι παρεισφθαρέντες, *μηδὲν ὑγιές*, ὅσα γε εἰς δογμάτων φρονοῦντες ἀκρίβειαν, καὶ τὸ κατ' αὐτοὺς εὐαγγέλιον, τοῖς τῶν
M 245v ἑτέρων προέδροις ἐκκλησιῶν, ὡς οἱ πρὸ αὐτῶν ἐπ' εὐ-‖σεβείᾳ διενεγκόντες, κοινοῦσθαι μὴ ἀνεχόμενοι, μή πως εἰς κενὸν ὁ δρόμος αὐτοῖς εἴη, ἔθεσί τε καὶ δόγμασι, πολὺ τὸ νόθον καὶ σφαλερὸν ἔχουσι, τὴν ἐκκλησίαν Ῥωμαίων προσανέχειν ἀνέπεισαν.

**ABCDGJLMOVWZ**

---

**18-19.** ἀνθ' ὧν-ἐπιχειρήσαντας] cf. Theoph. Conf., *Chron.*, p. 732.12-20 — **21.** μηδὲν ὑγιές] Plato, *Phaedrus*, 242e5

---

**18.** αὐτόν] post cor. (ex αὐτοῖς) W — μετήει] μετείη GJ — **19.** ἐπιχειρήσαντας] post cor. (ex ἐπιχειρίσαντας et sscr. η) W — **21.** μηδὲν] post cor. (ex μὴ δὲν) Z: μὴ δὲν B — **22.** ἀκρίβειαν] post cor. (ex ἀκρίβιαν et sscr. ει) B — **24.** κενὸν] καινὸν Z — **25.** ἔθεσί τε] ἤθεσί τε GJ — πολὺ] om. B: πολλὺ G

**[44] Περὶ τῶν ἐν ταῖς ἑπτὰ οἰκουμενικαῖς συνόδοις διαλαμψάντων ἁγίων πατέρων.**

Ἀλλ' ἴδωμεν εἰ δοκεῖ, καὶ τοὺς τῶν ἑπτὰ οἰκουμενικῶν ἡγησαμένους συνόδων, ὧν τὰ δόγματα καὶ τοὺς νόμους, ἥττονος οὗτοι ἀξιοῦν ἐδοκίμασαν λόγου, εἰ μὴ διὰ πάντων ὥσπερ ἀστέρες ἐξέλαμπον, οὐχ ἧττον διὰ τὴν τοῦ βίου λαμπρότητα, ἢ τὴν τοῦ λόγου δύναμιν, οὐχ ἓν ἔθνος τῇ εὐσεβείᾳ πυρσεύσαντες, ἀλλ' ὅσαπερ ἀτεχνῶς ὁ ὁρώμενος ἥλιος.

**[44.1] Περὶ τῆς πρώτης συνόδου.**

Καὶ γὰρ ἡ πρώτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος, τῶν ὀκτωκαίδεκα καὶ τριακοσίων θεοφόρων πατέρων, ἐν μὲν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ, τὴν τῆς ἀληθείας κρίσιν, θεόθεν ἐνεχειρίζετο, μετὰ χρόνους ἀπὸ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ἄντικρυς τοῖς θείοις ἰσαρίθμους πατράσιν. Ὧν προὔχοντες ἦσαν, Ἀλέξανδρός τε ὁ τῆς Κωνσταντίνου λαχὼν ἰθύνειν τὸν θρόνον, ἀνήρ, βαθεῖα μὲν

**ABCDGJLMOVWZ**

---

**[44.1] 1-23.** Καὶ γὰρ-παραπέμπουσιν] cf. *Synt.*, proem., § 6.1-23, p. 11.8-30

---

**[44.1] 1-23.** ἡ πρώτη-παραπέμπουσιν] cf. Phot., *Epist. Michael.,* pp. 375-377

---

**[44] Tit.** scr. περὶ τῶν ἐν ταῖς ἑπτὰ (ζ′ W) οἰκουμενικαῖς (οἰκουμενικαῖς om. A) συνόδοις διαλαμψάντων ἁγιῶν πατέρων in textu AG: scr. in marg. BCDLVW: περὶ τῶν ἑπτὰ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, καὶ τῶν ἐν αὐταῖς διαλαμψάντων ἁγιῶν πατέρων J — **1.** τοὺς] sscr. D — **2.** ἡγησαμένους] post cor. (ex ἡγήσαμένους) L: ἡγουμένους J — ἥττηνος Z — **3.** λόγους W — **6.** ὅσάπερ Z — ὁρώμενος] post cor. (ex ὡρώμενος) B

**[44.1] Tit.** scr. περὶ τῆς α′ συνόδου in marg. ACGLMOVW — **1.** post Καὶ γὰρ scr. τῶ δεκάτω ἔτει τ(ῆς) τοῦ μεγάλου κων(σταντίν)ου βασιλ(είας) B — πρώτη] α′ Z: — ἡ πρώτη καὶ οἰκουμενικὴ ἁγία D: ἡ ἁγία πρώτη καὶ οἰκουμενικὴ J — post ὀκτωκαίδεκα scr. κ(αὶ) τρια V — **2.** κατα J — **3-4.** ἐνεχειρίζετο-ἐνανθρωπήσεως] om. B — **5.** ἰσαρίθμους] οἰσαρίθμους G — προὔχοντες] προύχοντες BDMOVWZ — **6.** βαθεῖα ADGWZ — ἀνὴρ μὲν, βαθεῖα Z

πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος. Καὶ δὴ καὶ Σίλβεστρος καὶ Ἰούλιος, τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ἐπίσημοί τε καὶ περιβόητοι πρόεδροι. Αὐτῶν μέν, οὐδ' ἕτερος παραγεγονώς, Βίτωνα δὲ καὶ Βικέντιον, ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸν τῆς οἰκείας ἱερατείας χρόνον, τῇ κοινῇ πέμψαντες παρεσομένους συνόδῳ, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα παραγγείλαντας —ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος, αὐτὸς τὲ παρῆν, ἱεροῖς ἐνδιαπρέπων κατορθώμασι, συναγωνιστὴν καὶ τὸν μέγαν ἐπαγόμενος Ἀθανάσιον, ὃς τότε τοῦ τάγματος ἡγεῖτο τῶν διακόνων, Εὐστάθιός τε Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν εὐθυνούμενοι—, οἳ δὴ τὸ ὁμοούσιον τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων, τοῖς πᾶσι κηρύξαντες, τὸν δυσσεβῆ Ἄρειον, ὃς ἐκ τῆς Ἀλεξάνδρου μὲν εἵλκε τὸ γένος, εἰς πρεσβυτέρου δὲ τῆς ἐκεῖ ἐκκλησίας ἀναβεβήκει βαθμόν, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον —ὢ τολμηρᾶς γλώττης!— εἰς κτίσμα καὶ ποίημα καταβιβάζοντα, αὐτοῖς αὐτοῦ δόγμασι, τῷ ἀναθέματι παραπέμπουσιν.

**ABCDGJLMOVWZ**

---

**[44.1] 1-23.** Καὶ γὰρ-παραπέμπουσιν] cf. *Synt.*, proem., § 6.1-23, p. 11.8-30

---

**7.** σεμνυνόμενος lac. L — καὶ δὴ lac. L — **8.** ἐπίσκοποί τε A — **9.** οὐδ' ἕτερος] οὐδέτερος GJV — **11.** post ἱερατείας scr. et del. ἱερατείας D — πέμψαντες cor. A — **14.** αὐτὸς τέ V: αὐτός τε GJWZ — **15.** καὶ τὸν μέγαν ἐπαγόμενος ἀθανάσιον] ἐπαγόμενος καὶ τὸν μέγαν ἀθανάσιον J: καὶ τὸν μέγαν ἀθανάσιον ἐπαγόμενος per sscr. β′ et α′ Z — τοῦ] om. DO: scr. in marg. M — **16.** εὐστάθιος τὲ D — **17.** εὐθυνόμενοι J: εὐθενούμενοι DMOV: εὐθεινούμενοι B — **19.** ἐκ] om. Z — **20.** μὲν] om. L — εἵλκε B — πρεσβύ-|τέρου laps. cal. O — **23.** ἀναθέματι] ἀναθέσματι L — παραπέμπουσι GJ

**[44.2] Περὶ τῆς δευτέρας συνόδου.**

Ἡ δέ γε δευτέρα σύνοδος, χρόνοις ὑστερίζουσα τῆς πρὸ αὐτῆς δύο καὶ πεντήκοντα, τῶν μὲν ἱερῶν φροντισμάτων, τὴν βασιλίδα πόλιν, ἱερὸν ἐδείκνυ φροντιστήριον, εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο, πίστεως ἀτεχνῶς ἐναστράπτοντας καθαρότητι, ἐξάρχους ἔχουσα, Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ
M 246r τὸν ἀξιάγαστον τῆς Ἀντιοχείας ‖ Μελέτιον, Κύριλλόν τε τὸν Ἱεροσολύμων, καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθείς, καὶ τῷ θείῳ λουτρῷ, τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρὸν τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται καὶ ἅμα τῆς τε βασιλευούσης ἐπίσκοπος, καὶ τῆς συνόδου ἔξαρχος ἐχρημάτιζε. Μεθ' ὧν Γρηγόριος ὁ τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος, ὡς εἴ τις ἥλιος ἀστέρας, τῷ κάλλει τῶν λόγων, καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγωνίσμασι, πάντας ὑπεραστράπτων. Οἷς οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ τῆς παλαιᾶς Ῥώμης Δάμασος ὁ τὸν ὑπὲρ εὐσεβείας ζῆλον, οὐδενὸς δεύτερος,

**ABCDGJLMOVWZ**

---

**[44.2] 1-25.** Ἡ δέ-βασιλεῖ] cf. *Synt*., proem., § 11, pp. 17.21-18.18

---

**[44.2] Tit.** scr. περὶ τ(ῆς) β′ συνόδου in textu BOV: scr. in marg. ACMDGLWZ: scr. σύνοδος δευτέρα J — δευτέρα] β′ ACLZ — **2.** πεντήκοτα] ν′ Z — **3.** ἔδεικνυ J: ἐδείκνυε A — πεντήκοτα] ν′ Z — ἑκατὸν] ρ′ Z — **4.** συνεγείρετο J — **5.** τὸν] om. GJ — **6.** τῆς] om. GJ — τε] sscr. GW — τὸν] τῶν GJ — **10.** τε] om. Z — **12.** νύσης BCDGLMOVZ — **15.** ὑπὲρ ἀστράπτων GZ — τὸ] τῷ G — **16.** τὸν] τῶν Z

τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο. Ὁ ἱερὸς τοίνυν οὗτος χορός, τὸν πνευματομάχον διωσάμενοι Μακεδόνιον, ὃς τὸν Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι πεποίητο, καὶ τοὺς σὺν αὐτῷ τῷ ἀναθέματι καταδικάσαντες, τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον, καὶ ὁμότιμον, Πατρὶ καὶ Υἱῷ, ὡς Θεὸν ἀληθινὸν ἐδογμάτισαν. Ἔτι δὲ καὶ τῶν περὶ τὸν ἄνουν Ἀπολινάριον καταψηφισάμενοι, ἔννουν καὶ ἔμψυχον ἀνειληφέναι σάρκα τὸν Κύριον, ἐπεψήφισαν. Τὸ μέντοι κράτος τῆς βασιλείας, ὁ μέγας τηνικαῦτα περιεζωσμένος ἦν Θεοδόσιος· ἔτος δεύτερον ἦν τῆς βασιλείας τῷ βασιλεῖ.

**ABCDGJLMOVWZ**

---

**17.** post τοίνυν scr. et del. αὐτὰ κρατύνων ἐγνωρίζετο· dittography L — **18.** πν(ευμα)τομάχον διωσάμενος μακεδόνιον A: πν(ευμα)τομάχον μακεδόνιον διωσάμενοι V — **19.** ἅρπαγμα G — **20.** καταδικάσαντος A — **22.** τῶν] om. GJW — **25.** δεύτερον] β′ Z — post δεύτερὸν scr. δὲ J

**[44.3] Περὶ τῆς τρίτης συνόδου.**

Ἡ δ' αὖ τρίτη καὶ οἰκουμενικὴ σύνοδος, ἑνὸς καὶ τεσσαράκοντα ἐνιαυτῶν παρεληλυθότων, ἐν μὲν τῇ κατὰ Ἀσίαν, συνεκροτήθη Ἐφέσῳ, εἰς διακοσίους δὲ ἐπληθύνετο, ἔτει τῆς ἀρχῆς τρισκαιδεκάτῳ τοῦ νέου Θεοδοσίου. Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο, ὁ τῆς Ἀλεξανδρείας περιώνυμος ἐν πατράσι Κύριλλος, ὃς καὶ τοῦ τῆς πρεσβυτέρας Ῥώμης Κελεστίνου καὶ τὸ πρόσωπον ἐπλήρου καὶ τὸν θρόνον, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ ὁ πρόεδρος τῆς Ἐφεσίων Μέμνων. Οἵτινες τὸν ἐναγῆ Νεστόριον ἐκ τῆς Ἀντιοχείας μὲν ὁρμώμενον, τὸν δὲ τῆς Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχειρισμένον, δίκας τῆς ἀσεβείας ἀπῄτουν. Ἀνθ' ὧν τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν, εἰς δύο Υἱοὺς τέμνειν οὐ πεφρικώς, τὸν μέν, ψιλὸν ἄνθρωπον τοῦ προσλαβόντος Λόγου χωρίς, τὸν δέ, Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τοῦ προσλήμματος, ὁ ἀνόητος ἔπλαττεν, ἑνωθέντα δὲ κατὰ σχέσιν ἐκείνῳ. Καὶ ὥσπερ τὸν Σωτῆρα Χριστὸν ἀπεστέρει τῆς θεότητος, οὕτω καὶ τὴν κυρίως Θεοτόκον, τῆς Θεοτόκου κλήσεως. Ἀλλ' ἡ τῶν θείων πατέρων

**ABCDGJLMOVWZ**

---

**[44.3] 1-24.** Ἡ δ' αὖ-ἀξιώσασα] cf. *Synt.,* proem., § 12, pp. 19.8-20.2

---

**[44.3] Tit.** scr. περὶ τῆς τρίτ(ης) συνόδου in textu MOV: scr. περὶ τῆς γ′ συνόδου in marg. ABDCGLW: scr. σύνοδος τρίτη J — τεσσαράκοντα] μ′ BCMOVZ — **2.** κατὰ] om. G: ἐν J — ἀσίᾳ J — **3.** διακοσίους] σ′ Z: διακοσίους in ras. V — **4.** τρισκαιδεκάτῳ] ιγ′ codd. — **7.** Ἱεροσολυμων] post cor. (ex ἱεροσολύμων) G — **8.** Ἀντιοχίας L — **9.** ὁρμώμενον] post cor. (ex ὁρμόμενον) et ώ sscr. A — Κωνσταντινουπόλεως] κωνσταντίνου BDGJMOVW — οὐκ] sscr. C — **10.** δίκας in ras. V — ἀπῄτουν Z: ἀπήτους A — **11.** τὸν] τ(ῶν) J — δύο in ras. V — τέμνειν in ras. A: τέμνειν in ras. V — **12.** ἄνθρωπον ψιλὸν Z — **13.** προσλήματος GJ — ἀναμέρος GWZ — **14.** κατασχέσιν GVZ

σύνοδος, σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον λαμπρῶς ἐδογμάτισεν, ἕνα τὲ εἶναι Υἱὸν μετὰ τοῦ προσλήμματος, ἐν δυσὶ μὲν φύσεσι, μιᾷ δὲ γνωριζόμενον
M 246v 20 ὑποστάσει, ὡς τὸν αὐτὸν εἶναι ‖ Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, ἐν ἀμφοτέροις, τὸ τέλειον ἔχοντα, ἐκ περιουσίας περιγενόμενον τῆς συγχύσεως, τὴν δὲ αὐτὸν ἀσπόρως καὶ ὑπὲρ φύσιν τεκοῦσαν ἀειπάρθενον Κόρην, ἀληθῶς καὶ κυρίως, ἀπεφήνατο Θεοτόκον, τὸν ληρώδη Νεστόριον, τοῦ ἀναθέματος ἀξιώσασα.

**ABCDGJLMOVWZ**

---

**17.** καθυπόστασιν G — **18.** ἐδογματισεν B — εἶναι] om. GJ — **20.** ὁμοῦ θεὸν Z — **21.** *ἔχοντα* in ras. C — **22.** ὑπερφύσιν G — **22-23.** *τεκοῦσαν ἀει* scr. in marg. B — **23.** κυρίως] κηρίως D

**[44.4] Περὶ τῆς τετάρτης συνόδου.**

Ἀλλὰ γὰρ πρὶν χρόνους ἐξήκειν τριάκοντα, ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, τῷ πρώτῳ ἔτει τῆς βασιλείας Μαρκιανοῦ τοῦ χρηστοῦ, ἐπὶ τὴν περιώνυμον πόλιν τῆς Βιθυνίας ἠθροίζετο Χαλκηδόνα, εἰς τριάκοντα δὲ καὶ ἑξακοσίους τὸν ἀριθμὸν ἐξετείνετο. Ἧς λογάδες ἐγνωρίζοντο, Ἀνατόλιος Κωνσταντινουπόλεως, Μάξιμος Ἀντιοχείας, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ δὴ Πασκασῖνος τὲ καὶ Λουκίσιος ἐπίσκοποι σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, οὗ μέγα τὸ κλέος, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος. Ὃς οὐ μόνον ἀποστόλοις οἰκείοις, ἀλλὰ καὶ τῇ θαυμασίᾳ ἐπιστολῇ ἐπεκύρου τὰ τῆς συνόδου, ἣν καὶ στήλην ὀρθοδοξίας οἱ θεῖοι πατέρες εὖ μάλα προσηγορεύκασιν. Οὗτοι δὴ σύμπαντες, τὸν ἀρχιμανδρίτην Κωνσταντινουπόλεως Εὐτυχῆ, καὶ τὸν προασπιστὴν αὐτοῦ Διόσκορον Ἀλεξανδρείας, εἰς μίαν φύσιν ἀνακιρνῶντας τὲ καὶ συγχέοντας, τὸν ἐν δυσὶ φύσεσι γνωριζόμενον ἕνα Χριστὸν τὸν Κύριον ἡμῶν καὶ Θεόν, φεύγοντας δῆθεν τὴν Νεστορίου διαίρεσιν, ἀσεβείας ἕνεκα, τῷ ἀναθέματι κατεδίκασαν.

**ABCDGJLMOVWZ**

---

**[44.4] 1-18.** Ἀλλὰ γὰρ-κατεδίκασαν] *Synt.*, proem., § 14, pp. 20.27-21.15

---

